BYZANTINE GREEK SERIES · VOLUME 9

On Governing the Empire

Constantine VII Porphyrogennetos

ΠΡΟΣ ΤΟΝ ΙΔΙΟΝ ΥΙΟΝ ΡΩΜΑΝΟΝ

On Governing the Empire

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 9 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows I. Bekker's edition, Constantinus Porphyrogenitus, De thematibus et de administrando imperio (Bonn, 1840)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

Prologue · To His Son Romanos 7
I · The Pechenegs and the Emperor 11
II · The Pechenegs and the Rus 13
III · The Pechenegs and the Turks 15
IV · The Pechenegs, the Rus, and the Turks 16
V · The Pechenegs and the Bulgarians 17
VI · The Pechenegs and the Chersonites 18
VII · Imperial Agents Sent from Cherson 19
VIII · Agents Sent by Warship from the City 21
IX · The Rus Voyage to Constantinople 24
X · How Khazaria Is to Be Fought 33
XI · Cherson and Bosporus 34
XII · Black Bulgaria and Khazaria 35
XIII · The Nations Near the Turks; What Not to Grant 36
XIV · The Genealogy of Muhammad 52
XV · The Fatimids 55
XVI · The Saracens' Going Forth 56
XVII · From Theophanes: Muhammad 57
XVIII · Abu Bakr 59
XIX · Umar 60
XX · Uthman 61
XXI · From Theophanes: Muawiya and His Line 62
XXII · From Theophanes: Justinian and the Later Caliphs 73
XXIII · Iberia and Spain 79

XXIV · Spain 83
XXV · From Theophanes: The Vandals in Africa 84
XXVI · The Genealogy of King Hugh 91
XXVII · The Theme of Lombardy 97
XXVIII · The Settling of Venice 105
XXIX · Dalmatia and Its Nations 109
XXX · An Account of Dalmatia 132
XXXI · The Croats 144
XXXII · The Serbs 151
XXXIII · The Zachlumi 163
XXXIV · The Terbouniotes and Kanalites 165
XXXV · The Diocletians 167
XXXVI · The Pagani 168
XXXVII · The Pechenegs 170
XXXVIII · The Origin of the Turks 176
XXXIX · The Kabaroi 182
XL · The Clans of the Kabaroi and Turks 183
XLI · Moravia 188
XLII · Geography from Thessalonike to Sarkel 190
XLIII · Taron 199
XLIV · Apachounes and Manzikert 214
XLV · The Iberians 223
XLVI · The Iberians and Adranoutzion 237
XLVII · The Cypriots' Migration 250
XLVIII · Canon 39 of the Sixth Council; Greek Fire 252
XLIX · The Slavs of Patras 255
L · The Slavs of the Peloponnese; Themes and Offices 261
LI · The Imperial Dromons 281
LII · The Levy of Horses in the Peloponnese 297
LIII · The History of Cherson 298

A wise son gladdens his father, and the Lord gives kings their thrones; let Romanos hear and learn. Constantine sets out what he must know: which nations can help or harm the Romans, and by whom each may be fought and subdued; their greed and their demands; their descent, customs, lands, and distances; the dealings between the Romans and other nations; and what has been changed in the state over time. He has written it so that his son may handle them wisely. The nations will dread him, God will shield him, and his throne will stand like the sun. The prologue closes in prayer for the son's reign, his house, and his enemies' fall.

Υἱὸς σοφὸς εὐφραίνει πατέρα, καὶ πατὴρ φιλόστοργος
(a)-son wise gladdens (a)-father and (a)-father loving
ἐπὶ υἱῷ τέρπεται φρονίμῳ. κύριος γὰρ δίδωσι νοῦν
over (a)-son delights sensible (the)-Lord for gives mind
ἡνίκα δεῖ εἰπεῖν, καὶ προστίθησιν οὖς τοῦ ἀκούειν.
when (one)-must to-speak and adds (an)-ear of-the to-hear
παρ᾽ αὐτῷ θησαυρὸς σοφίας, καὶ ἐξ αὐτοῦ δίδοται
with him (is)-(a)-treasure of-wisdom and from him is-given
πᾶν δώρημα τέλειον. καθιστᾷ βασιλεῖς ἐπὶ θρόνου, καὶ
every gift perfect he-sets kings upon (the)-throne and
κυρίαν τοῦ παντὸς δίδωσιν αὐτοῖς. νῦν οὖν ἄκουσόν μου,
lordship of-the all gives to-them now then hear me
υἱέ, καὶ τήνδε μεμαθηκὼς τὴν διδαχὴν ἔσῃ σοφὸς
son and this having-learned the teaching you-will-be wise
παρὰ φρονίμοις καὶ φρόνιμος παρὰ σοφοῖς λογισθήσῃ·
among (the)-sensible and sensible among (the)-wise you-will-be-reckoned
εὐλογήσουσί σε οἱ λαοί, καὶ μακαριοῦσί σε πλήθη ἐθνῶν.
will-bless you the peoples and will-call-blessed you multitudes of-nations
διδάχθητι ἃ χρή σε πρὸ πάντων εἰδέναι, καὶ
be-taught (the-things)-which (it)-is-needful you before all to-know and
νουνεχῶς τῶν τῆς βασιλείας οἰάκων ἀντιλαβοῦ. περὶ
sensibly of-the of-the empire helms take-hold concerning

τῶν ἐνεστώτων μελέτησον καὶ περὶ τῶν μελλόντων
the present-things take-thought and concerning the things-to-come
διδάχθητι, ἵνα πεῖραν μετ᾽ εὐβουλίας ἀθροίσῃς, καὶ
be-taught so-that experience with good-counsel you-may-gather and
μεγαλεπήβολος ἔσῃ περὶ τὰ πράγματα. ἰδοὺ ἐκτίθημί
great-in-enterprise you-will-be concerning the affairs behold I-set-out
σοι διδασκαλίαν ὥστε τῇ ἐκ ταύτης πείρᾳ καὶ γνώσει
for-you (a)-teaching so-that by-the from this experience and knowledge
συνετισθέντα περὶ τὰς βελτίστας βουλὰς καὶ τὸ κοινῇ
having-been-made-wise concerning the best counsels and the in-common
συμφέρον μὴ διαμαρτάνειν. πρῶτα μὲν ποῖον ἔθνος κατὰ
advantageous not to-miss first indeed what nation in
τί μὲν ὠφελῆσαι δύναται Ῥωμαίους κατὰ τί δὲ βλάψαι,
what indeed to-benefit is-able (the)-Romans in what and to-harm
καὶ πῶς ἕκαστον τούτων, καὶ παρὰ ποίου δύναται ἔθνους
and how each of-these and by what is-able nation
καὶ πολεμεῖσθαι καὶ ὑποτάσσεσθαι, ἔπειτα περὶ τῆς
both to-be-warred-upon and to-be-subjected then concerning the
ἀπλήστου καὶ ἀκορέστου αὐτῶν γνώμης, καὶ ὧν
insatiable and unsatisfied their mind and (of-the-things)-which
παραλόγως ἐξαιτοῦνται λαμβάνειν, εἶθ᾽ οὕτως καὶ περὶ
unreasonably they-demand to-receive then thus also concerning
διαφορᾶς ἑτέρων ἐθνῶν, γενεαλογίας τε ἐθνῶν καὶ βίου
(the)-difference of-other nations genealogy both of-nations and of-life
διαγωγῆς, καὶ θέσεως καὶ κράσεως τῆς κατοικουμένης
conduct and position and climate of-the inhabited
παρ᾽ αὐτῶν γῆς καὶ περιηγήσεως αὐτῆς, καὶ σταδιασμοῦ
by them land and description its and measurement
πρὸς τούτοις, καὶ περὶ τῶν ἔν τινι καιρῷ μεταξὺ
in-addition-to these also concerning the at some time between
Ῥωμαίων καὶ διαφόρων ἐθνῶν συμβεβηκότων, καὶ μετὰ
(the)-Romans and various nations having-happened and after

ταῦτα ὅσα ἐν τῇ καθ᾽ ἡμᾶς πολιτείᾳ, ἀλλὰ καὶ ἐν
these(-things) whatever in the among us polity but also in
πάσῃ τῇ Ῥωμαίων ἀρχῇ κατά τινας χρόνους ἐκαινοτομήθη.
all the of-(the)-Romans rule at certain times was-innovated
ταῦτα ἐσοφισάμην κατ᾽ ἐμαυτὸν καὶ εἶπα γνωστά σοι
these(-things) I-devised by myself and said known to-you
ποιῆσαι τῷ ἠγαπημένῳ μου υἱῷ, ἵν᾽ ἔχῃς εἰδέναι
to-make the beloved my son so-that you-may-be-able to-know
τὴν ἑκάστου τούτων διαφοράν, καὶ πῶς ἢ μεταχειρίζεσθαι
the of-each of-these difference and how either to-handle
ταῦτα καὶ οἰκειοῦσθαι ἢ πολεμεῖν καὶ ἀντιτάσσεσθαι.
these and to-win-over or to-war and to-oppose
πτοηθήσονται γάρ σε ὡς μεγαλοφυῆ, καὶ ὡς ἀπὸ πυρὸς
they-will-be-terrified for you as great-natured and as from fire
φεύξονται ἀπὸ σοῦ· φιμωθήσονται τὰ χείλη αὐτῶν, καὶ ὡς
they-will-flee from you will-be-muzzled the lips their and as
ὑπὸ βελῶν τοῖς σοῖς κατατρωθήσονται ῥήμασιν. ὀφθήσῃ
by arrows by-the your they-will-be-wounded words you-will-appear
αὐτοῖς φοβερός, καὶ ἀπὸ προσώπου σου τρόμος λήψεται
to-them terrible and from (the)-face your trembling will-seize
αὐτούς. καί σου ὁ παντοκράτωρ ὑπερασπιεῖ, καὶ συνετιεῖ
them and of-you the almighty will-shield and will-make-wise
σε ὁ πλάσας σε· κατευθυνεῖ σου τὰ διαβήματα, καὶ
you the (one)-having-formed you will-direct your the steps and
ἑδράσει σε ἐπὶ βάσιν ἀσάλευτον. ὁ θρόνος σου ὡς
will-establish you upon (a)-foundation unshaken the throne your as
ὁ ἥλιος ἐναντίον αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἔσονται
the sun before him and the eyes his will-be
βλέποντες ἐπί σε, καὶ οὐδὲν οὐ μὴ ἅψηταί σου τῶν
looking upon you and nothing not — will-touch you of-the
χαλεπῶν, καθότι αὐτός σε ἐξελέξατο καὶ ἀπὸ μήτρας
hard-things since he you chose and from (the)-womb

ἀφώρισεν, καὶ τὴν αὐτοῦ βασιλείαν ὡς ἀγαθῷ ὑπὲρ
set-apart and the his kingdom as to-(a)-good-man above
πάντας σοι ἔδωκε, καὶ τέθεικεν ὡς σκοπὴν ἐπὶ βουνοῦ
all to-you he-gave and has-set as (a)-watchtower upon (a)-hill
καὶ ὡς χρυσοῦν ἀνδριάντα ἐφ' ὑψηλοῦ, καὶ ὡς πόλιν ἐπ'
and as (a)-golden statue on (a)-high-place and as (a)-city on
ὄρους ἀνύψωσεν, ὥστε δωροφορεῖσθαι ὑπ' ἐθνῶν καὶ
(a)-mountain he-raised-up so-that to-be-brought-gifts by nations and
προσκινεῖσθαι ὑπὸ τῶν κατοικούντων τὴν γῆν. ἀλλὰ σὺ
to-be-bowed-down-to by those dwelling-in the earth but you
κύριε ὁ θεός μου, οὗ ἡ βασιλεία ἀνώλεθρος καὶ αἰώνιος,
Lord — God my whose the kingdom (is)-indestructible and eternal
εἴης κατευοδῶν τὸν διὰ σοῦ ἐξ ἐμοῦ γεννηθέντα,
may-you-be prospering the(-one) through you from me begotten
καὶ ἔστω ἡ ἐπισκοπὴ τοῦ προσώπου σου ἐπ' αὐτόν, καὶ
and let-be the watching of-the face your upon him and
τὸ οὖς σου ἐπικλινέσθω ταῖς τούτου δεήσεσι. σκεπασάτω
the ear your let-incline to-the his prayers let-shelter
αὐτὸν ἡ χείρ σου, καὶ βασιλευέτω ἕνεκεν ἀληθείας, καὶ
him the hand your and let-him-reign for-the-sake-of truth and
ὁδηγήσῃ αὐτὸν ἡ δεξιά σου. κατευθυνθείησαν αἱ ὁδοὶ
may-guide him the right-hand your may-be-directed the ways
αὐτοῦ ἐνώπιόν σου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.
his before you of-the to-keep the ordinances your
πρὸ προσώπου αὐτοῦ πεσοῦνται πολέμιοι, καὶ λείξουσι
before (the)-face his will-fall enemies and will-lick
χοῦν οἱ ἐχθροὶ αὐτοῦ. κατασκιασθείη τὸ στέλεχος τοῦ
dust the foes his may-be-overshadowed the stock of-the
γένους αὐτοῦ πολυγονίας φύλλοις, καὶ ἡ σκιὰ τοῦ
family his of-fruitfulness with-leaves and the shadow of-the

καρποῦ αὐτοῦ ἐπικαλύψαι ὄρη βασίλεια, ὅτι διὰ
fruit his may-cover mountains royal because through
σοῦ βασιλεύουσι βασιλεῖς δοξάζοντές σε εἰς τὸν αἰῶνα.
you reign kings glorifying you to the age

I · THE PECHENEGS AND THE EMPEROR

Constantine says he writes in plain, everyday speech, not in Attic display, because his aim is to teach. It always profits the emperor to keep peace with the Pechenegs. He should send an envoy each year with fitting gifts, receive hostages in return, and have them honored in the city. For the Pechenegs border on Cherson, and if they are hostile they can raid it and the Regions.

περὶ τῶν Πατζινακιτῶν, καὶ πρὸς πόσα
concerning the Pechenegs and toward how-many-things
συμβάλλονται μετὰ τοῦ βασιλέως Ῥωμαίων εἰρηνεύοντες.
they-contribute with the emperor of-(the)-Romans being-at-peace
Ἄκουσον τοίνυν, υἱέ, ἅ μοι δοκεῖ σε μὴ ἀγνοεῖν,
hear therefore son (the-things)-which to-me seems you not to-be-ignorant-of
καὶ νοήμων γενοῦ, ἵνα κτήσῃ κυβέρνησιν. φημὶ γὰρ
and intelligent become so-that you-may-acquire governance I-say for
καὶ τοῖς ἄλλοις ἅπασιν εἶναι καλὸν τῶν ὑποτεταγμένων
also for-the others all to-be good of-the subjects
τὴν μάθησιν, διαφερόντως δὲ σοὶ τῷ ὑπὲρ τῆς
the learning especially and for-you the(-one) for the
πάντων σωτηρίας ὀφείλοντι διαμεριμνᾶν καὶ τὴν κοσμικὴν
of-all safety owing to-take-thought and the worldly
ὁλκάδα πηδαλιουχεῖν τε καὶ κυβερνᾶν. εἰ δὲ σαφεῖ καὶ
ship to-steer both and to-pilot if and in-clear and
κατημαξευμένῳ λόγῳ καὶ οἷον εἰκῇ ῥέοντι πεζῷ καὶ
well-worn speech and as-it-were at-random flowing plain and

ἁπλοϊκῷ πρὸς τὴν τῶν προκειμένων ἐχρησάμην δήλωσιν,
simple for the of-the matters-at-hand I-have-used setting-forth
μηδὲν θαυμάσῃς υἱέ· οὐ γὰρ ἐπίδειξιν καλλιγραφίας ἢ
in-no-way wonder son not for (a)-display of-fine-writing or
φράσεως ἠττικισμένης καὶ τὸ διῃρμένον διογκούσης καὶ
of-diction atticized and the elevated swelling and
ὑψηλοῦ ποιῆσαι ἐσπούδασα, ἀλλὰ μᾶλλον διὰ κοινῆς καὶ
lofty to-make I-was-eager but rather through common and
καθωμιλημένης ἀπαγγελίας διδάξαι σε ἔσπευσα ἅπερ
everyday speech to-teach you I-hastened (the-things)-which
οἶομαι δεῖν σε μὴ ἀγνοεῖν, καὶ ἃ τὴν
I-think (it)-is-needful you not to-be-ignorant-of and (the-things)-which the
ἐκ μακρᾶς ἐμπειρίας σύνεσίν τε καὶ φρόνησιν εὐμαρῶς
from long experience understanding both and prudence easily
σοι δύναται προξενεῖν. ὑπολαμβάνω γὰρ κατὰ πολὺ
for-you are-able to-procure I-suppose for in many-ways
συμφέρειν ἀεὶ τῷ βασιλεῖ Ῥωμαίων εἰρήνην ἐθέλειν
to-be-advantageous always for-the emperor of-(the)-Romans peace to-wish
ἔχειν μετὰ τοῦ ἔθνους τῶν Πατζινακιτῶν, καὶ φιλικὰς
to-have with the nation of-the Pechenegs and friendly
πρὸς αὐτοὺς ποιεῖσθαι συνθήκας τε καὶ σπονδάς, καὶ
toward them to-make treaties both and pacts and
ἀποστέλλειν καθ' ἕκαστον χρόνον ἐντεῦθεν πρὸς αὐτοὺς
to-send by each year from-here to them
ἀποκρισιάριον μετὰ ξενίων ἁρμοζόντων καὶ πρὸς τὸ
(an)-envoy with gifts fitting and for the
ἔθνος ἐπιτηδείων, καὶ ἀναλαμβάνεσθαι ἐκεῖθεν ὁμήρους
nation suitable and to-receive from-there hostages
ἤτοι ὄψιδας καὶ ἀποκρισιάριον, οἵτινες ἐν τῇ θεοφυλάκτῳ
that-is pledges and (an)-envoy who in the God-guarded
ταύτῃ πόλει μετὰ τοῦ καθυπουργοῦντος εἰς ταῦτα
this city with the(-one) attending to these(-things)

συνελεύσονται, καὶ βασιλικῶν εὐεργεσιῶν καὶ φιλοτιμιῶν
will-come-together and of-imperial benefactions and gifts
τῶν ἐπαξίων πάντων τοῦ βασιλεύοντος ἀπολαύσουσιν, ὅτι
the worthy of-all of-the reigning(-one) will-enjoy because
γειτνιάζει τὸ τοιοῦτον ἔθνος τῶν Πατζινακιτῶν τῷ μέρει
borders the such nation of-the Pechenegs on-the region
τῆς Χερσῶνος, καὶ εἰ μὴ φιλίως ἔχουσι πρὸς ἡμᾶς,
— of-Cherson and if not in-friendly-way they-are toward us
δύνανται κατὰ τῆς Χερσῶνος ἐξέρχεσθαι καὶ κουρσεύειν καὶ
they-are-able against — Cherson to-go-out and to-raid and
λῃΐζεσθαι αὐτήν τε τὴν Χερσῶνα καὶ τὰ λεγόμενα κλίματα.
to-plunder itself both — Cherson and the called regions

II · THE PECHENEGS AND THE RUS

The Pechenegs border on the Rus and often plunder Russia when the two are not at peace. The Rus therefore seek peace with them: they buy cattle, horses, and sheep from them, and they cannot go to war abroad while the Pechenegs could attack their homes. Nor can the Rus come to Constantinople, for at the river barrages they must carry their boats overland, and there the Pechenegs fall on them and slaughter them.

περὶ τῶν Πατζινακιτῶν καὶ τῶν Ῥῶς.
concerning the Pechenegs and the Rus
Ὅτι καὶ τοῖς Ῥῶς οἱ Πατζινακῖται γείτονες καὶ ὅμοροι
that also to-the Rus the Pechenegs neighbors and bordering
καθεστήκασι, καὶ πολλάκις, ὅταν μὴ πρὸς ἀλλήλους
have-become and often when not with each-other
εἰρηνεύουσι, πραιδεύουσι τὴν Ῥωσίαν καὶ ἱκανῶς αὐτὴν
they-are-at-peace they-plunder — Russia and considerably it
παραβλάπτουσι καὶ λυμαίνονται.
they-harm and ravage

ὅτι καὶ οἱ Ῥῶς διὰ σπουδῆς ἔχουσιν εἰρήνην ἔχειν μετὰ
that also the Rus with eagerness hold peace to-have with
τῶν Πατζινακιτῶν· ἀγοράζουσι γὰρ ἐξ αὐτῶν βόας καὶ
the Pechenegs they-buy for from them cattle and
ἵππους καὶ πρόβατα, καὶ ἐκ τούτων εὐμαρέστερον διαζῶσι
horses and sheep and from these more-easily they-live
καὶ τρυφερώτερον, ἐπεὶ μηδὲν τῶν προειρημένων ζῴων
and more-luxuriously since none of-the aforementioned animals
ἐν τῇ Ῥωσίᾳ καθέστηκεν. ἀλλ᾽ οὐδὲ πρὸς ὑπερορίους
in — Russia exists but not-even to beyond-the-border
πολέμους ἀπέρχεσθαι δύνανται ὅλως οἱ Ῥῶς εἰ μὴ μετὰ
wars to-go-away are-able at-all the Rus if not with
τῶν Πατζινακιτῶν εἰρηνεύοντες, διότι δύνανται ἐν τῷ
the Pechenegs being-at-peace because they-are-able in the
ἐκείνους τῶν οἰκείων ὑποχωρεῖν αὐτοὶ ἐπερχόμενοι
those from-the own(-lands) to-withdraw themselves coming-upon
τὰ ἐκείνων ἀφανίζειν τε καὶ λυμαίνεσθαι. διὸ
the(-things) of-those to-destroy both and to-ravage therefore
μᾶλλον ἀεὶ σπουδὴν οἱ Ῥῶς τίθενται, διά τε τὸ μὴ
rather always eagerness the Rus put because-of both the not
παραβλάπτεσθαι παρ᾽ αὐτῶν καὶ διὰ τὸ ἰσχυρὸν εἶναι
to-be-harmed by them and because-of the strong to-be
τὸ τοιοῦτον ἔθνος, συμμαχίαν παρ᾽ αὐτῶν λαμβάνειν καὶ
the such nation alliance from them to-receive and
ἔχειν αὐτοὺς εἰς βοήθειαν, ὡς ἂν καὶ τῆς ἔχθρας αὐτῶν
to-have them for help so-that — both of-the enmity their
ἀπαλλάττωνται καὶ τῆς βοηθείας καταπολαύοιεν.
they-may-be-rid and of-the help may-enjoy
ὅτι οὐδὲ πρὸς τὴν βασιλεύουσαν ταύτην τῶν Ῥωμαίων
that not-even to the reigning this of-the Romans
πόλιν οἱ Ῥῶς παραγίνεσθαι δύνανται εἰ μὴ μετὰ τῶν
city the Rus to-come are-able if not with the

Πατζινακιτῶν εἰρηνεύοντες, οὔτε πολέμου χάριν οὔτε
Pechenegs being-at-peace neither of-war for-the-sake nor
πραγματείας, ἐπειδὴ ἐν τῷ μετὰ τῶν πλοίων εἰς τοὺς
of-trade since in the with the ships at the
φραγμοὺς τοῦ ποταμοῦ γίνεσθαι τοὺς Ῥῶς καὶ μὴ
barrages of-the river to-arrive the Rus and not
δύνασθαι διελθεῖν, εἰ μὴ ἐξαγάγωσι τοῦ ποταμοῦ τὰ
to-be-able to-pass-through if not they-take-out of-the river the
πλοῖα αὐτῶν καὶ ἐπὶ τῶν ὤμων βαστάζοντες διαβήσωσιν,
ships their and upon the shoulders carrying they-take-across
ἐπιτίθενται τότε αὐτοῖς οἱ τοῦ τοιούτου ἔθνους τῶν
set-upon then them those of-the such nation of-the
Πατζινακιτῶν, καὶ ῥᾳδίως, ἅτε πρὸς δύο πόνους
Pechenegs and easily inasmuch-as against two labors
ἀντέχειν μὴ δύνανται, τροποῦνται καὶ κατασφάζονται.
to-hold-out not they-are-able they-are-routed and are-slaughtered

III · THE PECHENEGS AND THE TURKS

The Turks greatly fear the Pechenegs, who have often defeated them and nearly destroyed them, and so the Pechenegs hold them in check.

περὶ τῶν Πατζινακιτῶν καὶ Τούρκων.
concerning the Pechenegs and Turks
Ὅτι καὶ τὸ τῶν Τούρκων γένος μεγάλως πτοεῖται
that also the of-the Turks race greatly is-terrified
καὶ δέδιε τοὺς εἰρημένους Πατζινακίτας διὰ τὸ
and fears the said Pechenegs because-of the
πολλάκις ἡττηθῆναι παρ᾽ αὐτῶν καὶ τελείως σχεδὸν
often to-have-been-defeated by them and completely almost

παραδοθῆναι ἀφανισμῷ. καὶ διὰ τοῦτο ἀεὶ φοβεροὶ
to-have-been-handed-over to-annihilation and because-of this always fearsome
τοῖς Τούρκοις οἱ Πατζινακῖται νομίζονται, καὶ συστέλλονται
to-the Turks the Pechenegs are-considered and are-held-in-check
ὑπ᾽ αὐτῶν.
by them

IV · THE PECHENEGS, THE RUS, AND THE TURKS

While the emperor is at peace with the Pechenegs, neither the Rus nor the Turks can attack the Romans or demand great sums for peace, for they fear that the emperor could turn the Pechenegs against them. The Pechenegs, bound by friendship and won by letters and gifts, can easily invade both their lands, enslave their women and children, and plunder their country.

περὶ τῶν Πατζινακιτῶν καὶ Ῥῶς καὶ Τούρκων.
concerning the Pechenegs and Rus and Turks
Ὅτι τοῦ βασιλέως Ῥωμαίων μετὰ τῶν Πατζινακιτῶν
that the emperor of-(the)-Romans with the Pechenegs
εἰρηνεύοντος οὔτε Ῥῶς πολέμου νόμῳ κατὰ τῆς Ῥωμαίων
being-at-peace neither (the)-Rus of-war by-law against the of-(the)-Romans
ἐπικρατείας οὔτε οἱ Τοῦρκοι δύνανται ἐπελθεῖν· ἀλλ᾽ οὔτε
dominion nor the Turks are-able to-come-upon but neither
ὑπὲρ τῆς εἰρήνης μεγάλα καὶ ὑπέρογκα χρήματά τε καὶ
for the peace great and excessive monies both and
πράγματα παρὰ τῶν Ῥωμαίων δύνανται ἀπαιτεῖν, δεδιότες
goods from the Romans are-able to-demand fearing
τὴν διὰ τοῦ τοιούτου ἔθνους παρὰ τοῦ βασιλέως κατ᾽ αὐτῶν
the through the such nation from the emperor against them
ἰσχὺν ἐν τῷ ἐκείνους κατὰ Ῥωμαίων ἐκστρατεύειν. οἱ δὲ
strength in the those against (the)-Romans to-march-out the and

Πατζινακῖται καὶ τῇ πρὸς τὸν βασιλέα φιλίᾳ συνδούμενοι
Pechenegs both by-the toward the emperor friendship being-bound
καὶ παρ᾽ ἐκείνου διὰ γραμμάτων καὶ δώρων ἀναπειθόμενοι
and by him through letters and gifts being-persuaded
δύνανται ῥᾳδίως κατὰ τῆς χώρας τῶν τε Ῥῶς καὶ τῶν
are-able easily against the land of-the both Rus and of-the
Τούρκων ἐπέρχεσθαι, καὶ ἐξανδραποδίζεσθαι τὰ τούτων
Turks to-come-upon and to-enslave the their
γύναια καὶ παιδάρια, καὶ ληΐζεσθαι τὴν χώραν αὐτῶν.
women and children and to-plunder the land their

V · THE PECHENEGS AND THE BULGARIANS

The emperor can seem more fearsome to the Bulgarians and force them to keep quiet by keeping peace with the Pechenegs, who border on them and can march against Bulgaria whenever they wish. The Bulgarians, having often been defeated and plundered by them, have learned that peace with the Pechenegs is to their advantage.

περὶ τῶν Πατζινακιτῶν καὶ Βουλγάρων.
concerning the Pechenegs and Bulgarians
Ὅτι καὶ τοῖς Βουλγάροις φοβερώτερος ἂν εἶναι δόξειεν ὁ
that also to-the Bulgarians more-fearsome — to-be would-seem the
τῶν Ῥωμαίων βασιλεύς, καὶ ἀνάγκην ἡσυχίας ἐπιτιθέναι
of-the Romans emperor and (a)-necessity of-quiet to-impose
τούτοις δύναται, ἐκ τοῦ μετὰ τῶν Πατζινακιτῶν εἰρηνεύειν,
on-them is-able from the with the Pechenegs to-be-at-peace
ἐπειδὴ καὶ πρὸς αὐτοὺς τοὺς Βουλγάρους οἱ εἰρημένοι
since also to them the Bulgarians the said
Πατζινακῖται πλησιάζουσι, καὶ ἡνίκα βουληθῶσιν ἢ δι᾽
Pechenegs are-near and when they-wish either for
οἰκεῖον κέρδος ἢ τῇ πρὸς τὸν βασιλέα Ῥωμαίων χάριτι,
own gain or for-the toward the emperor of-(the)-Romans favor

εὐχερῶς δύνανται κατὰ Βουλγαρίας ἐκστρατεύειν, καὶ ἀπὸ
easily they-are-able against Bulgaria to-march-out and from
τοῦ περιόντος πλήθους καὶ τῆς ἰσχύος αὐτῶν ὑπερνικᾶν
the superior multitude and the strength their to-overcome
αὐτοὺς καὶ ἡττᾶν. διὰ τοῦτο καὶ οἱ Βούλγαροι ἀγῶνα
them and to-defeat because-of this also the Bulgarians struggle
καὶ σπουδὴν διηνεκῶς ἔχουσι τοῦ εἰρηνεύειν καὶ ὁμονοεῖν
and eagerness continually have of-the to-be-at-peace and to-be-of-one-mind
μετὰ τῶν Πατζινακιτῶν· ἐκ τοῦ γὰρ πολλάκις ὑπ᾽ αὐτῶν
with the Pechenegs from the for often by them
καταπολεμηθῆναι καὶ πραιδευθῆναι τῇ πείρᾳ ἐγνώκασι
to-have-been-warred-down and to-have-been-plundered by-the experience they-have-learned
καλὸν καὶ συμφέρον εἶναι τὸ εἰρηνεύειν ἀεὶ πρὸς αὐτούς.
good and advantageous to-be the to-be-at-peace always toward them

VI · THE PECHENEGS AND THE CHERSONITES

Another group of Pechenegs lives near Cherson. They trade with the Chersonites and carry out missions for them and for the emperor to Russia, Khazaria, Zichia, and beyond, for an agreed fee paid in silks, ribbons, cloths, brocades, pepper, and leather. Being free and as it were independent, they do no service without pay.

περὶ τῶν Πατζινακιτῶν καὶ Χερσωνιτῶν.
concerning the Pechenegs and Chersonites
Ὅτι καὶ ἕτερος λαὸς τῶν τοιούτων Πατζινακιτῶν τῷ μέρει
that also another people of-the such Pechenegs to-the region
τῆς Χερσῶνος παράκειται, οἵτινες καὶ πραγματεύονται μετὰ
— of-Cherson lies-near who also trade with
τῶν Χερσωνιτῶν, καὶ ποιοῦσι τὰς δουλείας αὐτῶν τε καὶ
the Chersonites and do the services their both and
τοῦ βασιλέως εἴς τε τὴν Ῥωσίαν καὶ Χαζαρίαν καὶ τὴν
of-the emperor into both — Russia and Khazaria and —

Ζιχίαν καὶ εἰς πάντα τὰ ἐκεῖθεν μέρη, δηλονότι λαμβάνοντες
Zichia and into all the there parts evidently receiving
παρὰ τῶν Χερσωνιτῶν τὸν προσυμπεφωνημένον μισθὸν
from the Chersonites the previously-agreed pay
ὑπὲρ τῆς τοιαύτης διακονίας κατὰ τὸ ἀνῆκον τῆς δουλείας
for the such service according-to the befitting of-the service
καὶ τοῦ κόπου αὐτῶν, οἷον βλαττία, πράνδια, χαρέρια,
and of-the labor their such-as purple-cloths ribbons loose-cloths
σήμεντα, πέπερι, δερμάτια ἀληθινὰ πάρδικα, καὶ ἕτερα εἴδη
brocades pepper leathers scarlet Parthian and other kinds
τὰ ὑπ᾽ αὐτῶν ἐπιζητούμενα, καθὼς ἂν ἕκαστος Χερσωνίτης
the by them sought-after as — each Chersonite
ἕκαστον Πατζινακίτην πείσῃ συμφωνῶν ἢ πεισθῇ·
each Pecheneg may-persuade agreeing or be-persuaded
ἐλεύθεροι γὰρ ὄντες καὶ οἷον αὐτόνομοι οἱ τοιοῦτοι
free for being and as-it-were independent the such
Πατζινακῖται οὐδεμίαν δουλείαν ἄνευ μισθοῦ ποιοῦσί ποτε.
Pechenegs no service without pay do ever

VII · IMPERIAL AGENTS SENT FROM CHERSON

An imperial agent who reaches Cherson must at once send to Patzinakia for hostages and escorts. He leaves the hostages in the fortress and travels with the escorts. The Pechenegs, insatiable for rarities, demand presents for themselves, their wives, their parents, and their horses, and the escorts demand pay again on the way back.

περὶ τῶν ἀποστελλομένων βασιλικῶν ἀπὸ Χερσῶνος ἐν
concerning the being-sent imperial-agents from Cherson into
Πατζινακίᾳ.
Patzinakia

Ὅτι ἡνίκα περάσῃ βασιλικὸς εἰς Χερσῶνα ἕνεκα
that when crosses (an)-imperial-agent to Cherson for-the-sake-of
τῆς τοιαύτης διακονίας, ὀφείλει εὐθὺς ἀποστέλλειν εἰς
the such service he-ought at-once to-send into
Πατζινακίαν καὶ ἐπιζητεῖν ὄψιδας παρ᾽ αὐτῶν καὶ
Patzinakia and to-ask-for hostages from them and
διασώστας, καὶ ἐρχομένων αὐτῶν τοὺς μὲν ὄψιδας εἰς
escorts and coming them the indeed hostages in
τὸ κάστρον Χερσῶνος κρατουμένους καταλιμπάνειν, αὐτὸς
the fortress of-Cherson held to-leave-behind he
δὲ μετὰ τῶν διασωστῶν πρὸς Πατζινακίαν ἀπέρχεσθαι
and with the escorts to Patzinakia to-go-away
καὶ τὰ ἐντεταλμένα ἐπιτελεῖν. οἱ δὲ τοιοῦτοι Πατζινακῖται
and the commanded-things to-accomplish the and such Pechenegs
ἄπληστοι ὄντες καὶ τῶν παρ᾽ αὐτοῖς σπανίων ὀξεῖς
insatiable being and of-the among them rare-things keen
ἐπιθυμηταὶ ἀναίδην ἐπιζητοῦσι ξενάλια ἱκανά, οἱ μὲν
desirers shamelessly ask-for presents considerable the indeed
ὄψιδες ἄλλα μὲν λόγῳ αὐτῶν καὶ ἄλλα λόγῳ τῶν
hostages some indeed on-account their and others on-account of-the
αὐτῶν γυναικῶν, οἱ δὲ ἀποσῶσται τὰ μὲν ὑπὲρ τοῦ
their wives the and escorts the(-ones) indeed for the
κόπου αὐτῶν τὰ δὲ ὑπὲρ τοῦ κόπου τῶν ἀλόγων αὐτῶν.
labor their the(-ones) and for the labor of-the beasts their
εἶτα εἰσερχομένου τοῦ βασιλικοῦ εἰς τὴν χώραν αὐτῶν
then entering the imperial-agent into the land their
ζητοῦσι πρότερον τὰ τοῦ βασιλέως δῶρα· καὶ πάλιν ὅτε
they-ask-for first the of-the emperor gifts and again when
χωρήσουσι τοὺς ἀνθρώπους αὐτῶν, ζητοῦσι τὰ τῶν
they-make-room-for the men their they-ask-for the(-gifts) of-the
γυναικῶν αὐτῶν καὶ τῶν γονέων αὐτῶν. ἀλλὰ καὶ ὅσοι
wives their and of-the parents their but also as-many-as

ἐν τῷ ἀποσώζειν αὐτὸν ὑποστρέφοντα πρὸς Χερσῶνα
in the to-escort him returning to Cherson
κατέλθωσι μετ᾽ αὐτοῦ, ζητοῦσι παρ᾽ αὐτοῦ ῥογευθῆναι
come-down with him ask from him to-be-paid
διὰ τὸν κόπον αὐτῶν τε καὶ τῶν ἀλόγων αὐτῶν.
because-of the labor their both and of-the beasts their

VIII · AGENTS SENT BY WARSHIP FROM THE CITY

Pechenegs also live toward Bulgaria, along the Dnieper and the Dniester, and an agent sent by warship can reach them without going to Cherson. Staying on board, he summons them, exchanges hostages, receives their oaths, and gives the imperial gifts. They can be hired against the Rus, the Bulgarians, or the Turks. When the cleric Gabriel urged the Turks to drive out the Pechenegs, their chiefs cried out that they would not fight them, for the Pechenegs are many and bad children. A closing note adds that the Pechenegs cross the Dnieper after spring and always summer there.

περὶ τῶν ἀπὸ τῆς θεοφυλάκτου πόλεως ἀποστελλομένων
concerning the from the God-guarded city being-sent
βασιλικῶν μετὰ χελανδίων διά τε τοῦ Δανουβίου καὶ
imperial-agents with warships through both the Danube and
Δάναπρι καὶ Δάναστρι ποταμοῦ ἐν Πατζινακίᾳ.
Dnieper and Dniester river into Patzinakia
Ὅτι καὶ εἰς τὸ μέρος τῆς Βουλγαρίας καθέζεται λαὸς
that also in the region — of-Bulgaria dwells (a)-people
τῶν Πατζινακιτῶν ἐπὶ τὸ μέρος τοῦ Δάναπρι καὶ τοῦ
of-the Pechenegs toward the region of-the Dnieper and of-the
Δάναστρι καὶ τῶν ἑτέρων τῶν ἐκεῖσε ὄντων ποταμῶν,
Dniester and of-the other the there being rivers
καὶ βασιλικοῦ ἀποστελλομένου ἐντεῦθεν μετὰ χελανδίων
and (an)-imperial-agent being-sent from-here with warships

δύναται καὶ χωρὶς τοῦ εἰς Χερσῶνα ἀπελθεῖν ἐνταῦθα
is-able even without the to Cherson to-go-away here
συντόμως καὶ ταχέως εὑρίσκειν τοὺς αὐτοὺς Πατζινακίτας·
quickly and swiftly to-find the same Pechenegs
οὓς καὶ εὑρὼν μηνύει διὰ ἀνθρώπου αὐτοῦ ὁ βασιλικὸς
whom also having-found informs through (a)-man his the imperial-agent
ἐντὸς τῶν χελανδίων μένων καὶ μεθ' ἑαυτοῦ τὰ βασιλικὰ
inside the warships remaining and with himself the imperial
ἐπιφερόμενος καὶ φυλάττων ἐν τοῖς χελανδίοις πράγματα.
bringing and guarding in the warships goods
καὶ κατέρχονται πρὸς αὐτόν, καὶ ὅτε κατέλθωσι, δίδωσι
and they-come-down to him and when they-come-down gives
πρὸς αὐτοὺς ὁ βασιλικὸς ἀνθρώπους αὐτοῦ ὄψιδας, καὶ
to them the imperial-agent men his (as)-hostages and
λαμβάνει καὶ αὐτὸς ἀπὸ τῶν τοιούτων Πατζινακιτῶν
receives also he from the such Pechenegs
ἑτέρους ὄψιδας, καὶ κρατεῖ αὐτοὺς εἰς τὰ χελάνδια,
other hostages and holds them in the warships
καὶ τότε συμφωνεῖ μετ' αὐτῶν· καὶ ὅτε ποιήσουσιν οἱ
and then agrees with them and when make the
Πατζινακῖται πρὸς τὸν βασιλικὸν τοὺς ὅρκους κατὰ τὰ
Pechenegs to the imperial-agent the oaths according-to the
ζάκανα αὐτῶν, ἐπιδίδωσιν αὐτοῖς τὰς βασιλικὰς δωρεάς,
customs their he-hands-over to-them the imperial gifts
καὶ ἀναλαμβάνεται φίλους ἐξ αὐτῶν ὅσους βούλεται,
and takes friends from them as-many-as he-wishes
καὶ ὑποστρέφει. οὕτω δὲ χρὴ συμφωνεῖν μετ' αὐτῶν
and returns thus and (one)-must agree with them
ὥστε, ὅπου ἂν χρεωποιηθῇ αὐτοὺς ὁ βασιλεύς, ποιήσωσι
so-that wherever — has-need-of them the emperor they-may-do
δουλείαν, εἴτε εἰς τοὺς Ῥῶς εἴτε εἰς τοὺς Βουλγάρους
service whether against the Rus or against the Bulgarians

εἴτε καὶ εἰς τοὺς Τούρκους· εἰσὶ γὰρ δυνατοὶ τοῦ πάντας
or also against the Turks they-are for able of-the all
τούτους πολεμεῖν, καὶ πολλάκις κατ᾽ αὐτῶν ἐλθόντες
these to-war and often against them having-come
φοβεροὶ νῦν καθεστήκασιν. καὶ τοῦτο δῆλον καὶ ἐντεῦθέν
fearsome now they-have-become and this (is)-clear also from-here
ἐστιν. τοῦ γὰρ κληρικοῦ Γαβριήλ ποτε πρὸς τοὺς Τούρκους
is of-the for cleric Gabriel once to the Turks
ἀποσταλέντος ἀπὸ κελεύσεως βασιλικῆς, καὶ πρὸς αὐτοὺς
having-been-sent by command imperial and to them
εἰπόντος ὅτι ὁ βασιλεὺς δηλοποιεῖ ὑμᾶς ἀπελθεῖν καὶ
having-said that the emperor makes-known-to you to-go-away and
ἀποδιῶξαι τοὺς Πατζινακίτας ἀπὸ τοῦ τόπου αὐτῶν καὶ
to-drive-out the Pechenegs from the place their and
καθεσθῆναι ὑμᾶς (ὑμεῖς γὰρ καὶ πρότερον ἐκεῖσε ἐκαθέζεσθε)
to-settle you you for also formerly there were-settled
πρὸς τὸ εἶναι πλησίον τῆς βασιλείας μου, καὶ ὅτε θέλω
for the to-be near the empire my and when I-wish
ἀποστέλλω, καὶ ἐν τάχει εὑρίσκω ὑμᾶς, πάντες οἱ ἄρχοντες
I-send and in speed I-find you all the chiefs
τῶν Τούρκων μιᾷ φωνῇ ἐξεβόησαν ὅτι ἡμεῖς μετὰ τοὺς
of-the Turks with-one voice cried-out that we with the
Πατζινακίτας ἑαυτοὺς οὐ βάλλομεν· οὐ γὰρ δυνάμεθα
Pechenegs ourselves not throw not for we-are-able
πολεμεῖν πρὸς αὐτούς, ὅτι καὶ χώρα μεγάλη καὶ λαὸς
to-war against them because both (the)-land (is)-great and (the)-people
πολὺς καὶ κακὰ παιδία εἰσί. καὶ τοῦ λοιποῦ τὸν λόγον
many and bad children they-are and for-the rest(-of-time) the word
τοῦτον πρὸς ἡμᾶς μὴ εἴπῃς· οὐ γὰρ ἀγαπῶμεν αὐτόν.
this to us not say not for we-love it

ὅτι καὶ οἱ Πατζινακῖται ἐκεῖθεν τοῦ Δανάπρεως ποταμοῦ
that also the Pechenegs beyond the Dnieper river
μετὰ τὸ ἔαρ διέρχονται, καὶ ἀεὶ ἐκεῖσε καλλοκαιρίζουσι.
after the spring cross and always there spend-the-summer

IX · THE RUS VOYAGE TO CONSTANTINOPLE

The dugouts that come to Constantinople gather each spring at Kiev, where the Rus buy them from the Slavs who cut them in winter. In June they sail down the Dnieper. At each of the seven barrages, named in Russian and in Slavonic, they put men ashore, punt or drag the boats past the rocks, and at the fourth carry them six miles overland while watching for the Pechenegs. On St. Gregory's island they sacrifice cocks under a great oak. They rest and refit at St. Aitherios, then coast past the Danube mouths to Mesembria. In winter the princes go out on rounds among the tributary Slavs and return to Kiev in April. A closing note adds that the Uzes can make war on the Pechenegs.

περὶ τῶν ἀπὸ τῆς Ῥωσίας ἐρχομένων Ῥῶς μετὰ τῶν
concerning the from — Russia coming Rus with the
μονοξύλων ἐν Κωνσταντινουπόλει.
dugouts to Constantinople
Ὅτι τὰ ἀπὸ τῆς ἔξω Ῥωσίας μονόξυλα κατερχόμενα
that the from the outer Russia dugouts coming-down
ἐν Κωνσταντινουπόλει εἰσὶ μὲν ἀπὸ τοῦ Νεμογαρδάς,
to Constantinople are indeed from — Nemogarda
ἐν ᾧ Σφενδοσθλάβος ὁ υἱὸς Ἴγγωρ τοῦ ἄρχοντος
in which Sviatoslav the son of-Igor the prince
Ῥωσίας ἐκαθέζετο, εἰσὶ δὲ καὶ ἀπὸ τὸ κάστρον τὴν
of-Russia was-settled are and also from the fortress —
Μιλινίσκαν καὶ ἀπὸ Τελιούτζαν καὶ Τζερνιγώγαν καὶ ἀπὸ
Miliniska and from Teliutza and Tzernigoga and from
τοῦ Βουσεγραδέ. ταῦτα οὖν ἅπαντα διὰ τοῦ ποταμοῦ
— Vousegrade these then all through the river

κατέρχονται Δανάπρεως, καὶ ἐπισυνάγονται ἐπὶ τὸ κάστρον
come-down of-(the)-Dnieper and are-gathered at the fortress
τὸ Κιοάβα τὸ ἐπονομαζόμενον Σαμβατάς. οἱ δὲ
— Kiev the(-one) named Samvatas the and
Σκλάβοι οἱ πακτιῶται αὐτῶν, οἱ Κριβηταινοὶ λεγόμενοι
Slavs the tributaries their the Krivitzians called
καὶ οἱ Λενζανῆνοι καὶ οἱ λοιποὶ Σκλαβίνιοι, εἰς τὰ
and the Lenzanenes and the other Slavonians in the
ὄρη αὐτῶν κόπτουσι τὰ μονόξυλα ἐν τῷ τοῦ χειμῶνος
mountains their cut the dugouts in the of-the winter
καιρῷ, καὶ καταρτήσαντες αὐτῶν τοῦ καιροῦ ἀνοιγομένου,
season and having-fitted-out them the season opening
ἡνίκα διαλυθῇ ὁ παγετός, εἰς τὰς πλησίον οὔσας λίμνας
when has-melted the frost into the near being lakes
εἰσάγουσιν αὐτά. καὶ ἐπειδὴ ἐκεῖνα εἰσβάλλουσιν εἰς
they-bring them and since those empty into
ποταμὸν τὸν Δάναπριν, ἀπὸ τῶν ἐκεῖσε οὗτοι εἰς τὸν
(the)-river the Dnieper from the there these into the
αὐτὸν ποταμὸν εἰσέρχονται καὶ ἀπέρχονται εἰς τὸ Κιόβα,
same river enter and go-away to — Kiev
καὶ σύρουσιν εἰς τὴν ἐξάρτησιν, καὶ ἀπεμπολοῦσιν αὐτὰ
and drag(-them) to the fitting-out and sell them
εἰς τοὺς Ῥῶς. οἱ δὲ Ῥῶς σκαφίδια καὶ μόνα ταῦτα
to the Rus the and Rus hulls and only these
ἀγοράζοντες, τὰ παλαιὰ αὐτῶν μονόξυλα καταλύοντες ἐξ
buying the old their dugouts dismantling from
αὐτῶν βάλλουσι καὶ πέλλας καὶ σκαρμοὺς εἰς αὐτὰ καὶ
them they-put both oars and rowlocks into them and
λοιπὰς χρείας, ἐξοπλίζουσιν αὐτά. καὶ Ἰουνίου μηνὸς διὰ
other needs they-equip them and of-June month through
τοῦ ποταμοῦ Δανάπρεως ἀποκινοῦντες κατέρχονται εἰς τὸ
the river Dnieper setting-out they-come-down to —

Βιτετζέβη, ὅπερ ἐστὶ πακτιωτικὸν κάστρον τῶν Ῥῶς. καὶ
Vitetzevi which is (a)-tributary fortress of-the Rus and
συναθροιζόμενοι ἐκεῖσε μέχρι δύο καὶ τριῶν ἡμερῶν, ἡνίκα
gathering there up-to two and three days when
ἂν ἅπαντα ἀποσυναχθῶσι τὰ μονόξυλα, τότε ἀποκινοῦσι
— *all have-been-assembled the dugouts then they-set-out*
καὶ κατέρχονται διὰ τοῦ εἰρημένου Δανάπρεως ποταμοῦ.
and come-down through the said Dnieper river
καὶ πρῶτον μὲν ἔρχονται εἰς τὸν πρῶτον φραγμὸν τὸν
and first indeed they-come to the first barrage the(-one)
ἐπονομαζόμενον Ἐσσουπῆ, ὃ ἑρμηνεύεται Ῥωσιστὶ καὶ
named Essoupi which is-interpreted in-Russian and
Σκλαβινιστὶ μὴ κοιμᾶσθαι. ὁ δὲ τούτου φραγμὸς τοσοῦτόν
in-Slavonic not to-sleep the and of-this barrage so
ἐστι στενὸς ὅσον τὸ πλάτος τοῦ τζυκανιστηρίου· μέσον
is narrow as the breadth of-the polo-ground in-(the)-middle
δὲ αὐτοῦ πέτραι εἰσὶ ῥιζικαῖαι ὑψηλαὶ νησίων δίκην
and of-it rocks are rooted high of-islets in-the-manner-of
ἀποφαινόμεναι. πρὸς αὐτὰς οὖν ἐρχόμενον τὸ ὕδωρ καὶ
appearing against them then coming the water and
πλημμυροῦν, κἀκεῖθεν ἀποκρημνιζόμενον πρὸς τὸ κάτω
flooding and-from-there plunging-down to the lower
μέρος, ἦχον μέγαν καὶ φόβον ἀποτελεῖ. καὶ διὰ τοῦτο
part noise great and fear produces and because-of this
μέσον αὐτῶν οὐ τολμῶσιν οἱ Ῥῶς διελθεῖν, ἀλλὰ πλησίον
between them not dare the Rus to-pass-through but near
σκαλώσαντες, καὶ τοὺς μὲν ἀνθρώπους ἐκβαλόντες εἰς τὴν
having-put-in and the indeed men having-put-out onto the
ξηράν, τὰ δὲ λοιπὰ πράγματα ἐάσαντες εἰς τὰ μονόξυλα,
dry-land the and other goods having-left in the dugouts
εἶθ' οὕτως γυμνοί, τοῖς ποσὶν αὐτῶν ψηλαφοῦντες,
then thus naked with-the feet their feeling-their-way

ἵνα μή τινι λίθῳ προσκρούσωσιν. τοῦτο δὲ ποιοῦσιν
so-that not on-some stone they-may-strike this and do
οἱ μὲν πλώραν, οἱ δὲ μέσον, οἱ δὲ καὶ
some indeed (at)-(the)-prow others and (at)-(the)-middle the(-others) and also
εἰς τὴν πρύμναν μετὰ κονταρίων κοντοβευόμενοι. καὶ
at the stern with poles punting and
μετὰ τοιαύτης ἁπάσης ἀκριβείας διέρχονται τὸν τοιοῦτον
with such all exactness they-pass-through the such
πρῶτον φραγμὸν διὰ τῆς γωνίας καὶ τῆς ὄχθης τοῦ
first barrage by the edge and the bank of-the
ποταμοῦ. ἡνίκα δὲ διέλθωσι τὸν τοιοῦτον φραγμόν,
river when and they-have-passed-through the such barrage
πάλιν ἀπὸ τῆς ξηρᾶς ἀναλαμβανόμενοι τοὺς λοιποὺς
again from the dry-land taking-up the others
ἀποπλέουσι, καὶ κατέρχονται εἰς τὸν ἕτερον φραγμὸν
they-sail-off and come-down to the other barrage
τὸν ἐπιλεγόμενον Ῥωσιστὶ μὲν Οὐλβορσὶ Σκλαβινιστὶ
the(-one) called in-Russian indeed Oulvorsi in-Slavonic
δὲ Ὀστροβουνίπραχ, ὅπερ ἑρμηνεύεται τὸ νησίον τοῦ
and Ostrovouniprach which is-interpreted the islet of-the
φραγμοῦ. ἔστι κἀκεῖνος ὅμοιος τῷ πρώτῳ, χαλεπός τε καὶ
barrage is and-that-one like to-the first hard both and
δυσδιέξοδος. καὶ πάλιν ἐκβαλόντες τὸν λαὸν διαβιβάζουσι
hard-to-get-through and again having-put-out the people they-take-across
τὰ μονόξυλα καθὼς καὶ πρότερον. ὁμοίως δὲ διέρχονται
the dugouts as also before likewise and they-pass-through
καὶ τὸν τρίτον φραγμὸν τὸν λεγόμενον Γελανδρί, ὃ
also the third barrage the(-one) called Gelandri which
ἑρμηνεύεται Σκλαβινιστὶ ἦχος φραγμοῦ. εἶθ' οὕτως τὸν
is-interpreted in-Slavonic noise of-(the)-barrage then thus the
τέταρτον φραγμόν, τὸν μέγαν, τὸν ἐπιλεγόμενον Ῥωσιστὶ
fourth barrage the great the(-one) called in-Russian

μὲν Ἀειφάρ, Σκλαβινιστὶ δὲ Νεασήτ, διότι φωλεύουσιν οἱ
indeed Aeifar in-Slavonic and Neasit because nest the
πελεκᾶνοι εἰς τὰ λιθάρια τοῦ φραγμοῦ. ἐν τούτῳ οὖν τῷ
pelicans in the stones of-the barrage at this then the
φραγμῷ σκαλώνουσιν ἅπαντα εἰς τὴν γῆν ὀρθόπλωρα,
barrage put-in all to the land prow-first
καὶ ἐξέρχονται οἱ ὡρισμένοι ἄνδρες φυλάττειν τὴν βίγλαν
and go-out the appointed men to-keep the watch
μετ' αὐτῶν, καὶ ἀπέρχονται, καὶ τὰς βίγλας οὗτοι διὰ
with them and go-away and the watches these because-of
τοὺς Πατζινακίτας ἀγρύπνως φυλάττουσιν. οἱ δὲ λοιποὶ
the Pechenegs sleeplessly keep the and others
τὰ πράγματα ἅπερ ἔχουσιν εἰς τὰ μονόξυλα ἀναλαβόμενοι,
the goods which they-have in the dugouts having-taken-up
τὰ ψυχάρια μετὰ τῶν ἁλύσεων διὰ τοῦ ξηροῦ αὐτὰ
the slaves with the chains through the dry-land them
διαβιβάζουσι μίλια ἕξ, ἕως ἂν διέλθωσι τὸν φραγμόν.
take-across miles six until — they-have-passed-through the barrage
εἶθ' οὕτως οἱ μὲν σύροντες οἱ δὲ καὶ εἰς τοὺς ὤμους
then thus some indeed dragging others and also on the shoulders
βαστάζοντες τὰ αὐτῶν μονόξυλα εἰς τὸ τοῦ φραγμοῦ
carrying the their dugouts to the of-the barrage
ἐκεῖθεν μέρος διαβιβάζουσι, καὶ οὕτως ῥίπτοντες αὐτὰ
beyond part take-across and thus throwing them
εἰς τὸν ποταμὸν καὶ τὰ πετζιμέντα αὐτῶν ἐμβλησκόμενοι
into the river and the baggage their loading-in
εἰσέρχονται καὶ αὖθις ἐναποπλέουσιν. ἀπερχόμενοι δὲ εἰς
they-embark and again sail-off going-away and to
τὸν πέμπτον φραγμὸν τὸν ἐπονομαζόμενον Ῥωσιστὶ μὲν
the fifth barrage the(-one) named in-Russian indeed
Βαρουφόρος Σκλαβινιστὶ δὲ Βουλνηπράχ, διότι μεγάλην
Varouforos in-Slavonic and Voulniprach because (a)-great

λίμνην ἀποτελεῖ, πάλιν εἰς τὰς τοῦ ποταμοῦ γωνίας τὰ
lake it-forms again at the of-the river edges the
αὐτῶν μονόξυλα διαβιβάσαντες καθὼς καὶ εἰς τὸν πρῶτον
their dugouts having-taken-across as also at the first
φραγμὸν καὶ εἰς τὸν δεύτερον, καταλαμβάνουσι τὸν ἕκτον
barrage and at the second they-reach the sixth
φραγμόν, λεγόμενον μὲν Ῥωσιστὶ Λεάντι Σκλαβινιστὶ
barrage called indeed in-Russian Leanti in-Slavonic
δὲ Βερούτζη, ὅ ἐστι βράσμα νεροῦ, καὶ διαβαίνουσι
and Veroutzi which is (a)-boiling of-water and they-pass-through
καὶ αὐτὸν ὁμοίως. καὶ ἀπὸ τούτου ἀποπλέουσι καὶ πρὸς
also it likewise and from this they-sail-off also to
τὸν ἕβδομον φραγμὸν τὸν ἐπιλεγόμενον Ῥωσιστὶ μὲν
the seventh barrage the(-one) called in-Russian indeed
Στρούβουν Σκλαβινιστὶ δὲ Ναπρεζή, ὃ ἑρμηνεύεται
Strouvoun in-Slavonic and Naprezi which is-interpreted
μικρὸς φραγμός, καὶ διαβαίνοντες εἰς τὸ λεγόμενον
small barrage and passing-through to the called
πέραμα τοῦ Κραρίου, ἐν ᾧ διαπερῶσιν ἀπὸ Ῥωσίας οἱ
crossing — of-Krarion at which cross from Russia the
Χερσωνῖται, καὶ οἱ Πατζινακῖται ἐπὶ Χερσῶνα, ἔχον τὸ
Chersonites and the Pechenegs toward Cherson having the
αὐτὸ πέραμα τὸ μὲν πλάτος ὅσον τοῦ Ἱπποδρομίου,
same crossing the indeed breadth as-much-as of-the Hippodrome
τὸ δὲ ὕψος ἀπὸ κάτω ἕως ὅτου παρακύπτουσιν οἱ φίλοι,
the and height from below up-to where peer-over the friends
ὅσον καὶ φθάνειν σαγίτταν τοῦ τοξεύοντος ἔνθεν
as-far-as also to-reach (an)-arrow of-the(-one) shooting from-here
ἐκεῖσε· ὅθεν καὶ εἰς τὸν τοιοῦτον τόπον κατέρχονται
to-there whence also to the such place come-down
οἱ Πατζινακῖται, καὶ πολεμοῦσι τοὺς Ῥῶς. μετὰ δὲ
the Pechenegs and war-upon the Rus after and

τὸ διελθεῖν τὸν τοιοῦτον τόπον τὴν νῆσον τὴν
the to-pass-through the such place the island the(-one)
ἐπιλεγομένην ὁ ἅγιος Γρηγόριος καταλαμβάνουσιν, ἐν ᾗ
called the holy Gregory they-reach on which
νήσῳ καὶ τὰς θυσίας αὐτῶν ἐπιτελοῦσιν διὰ τὸ ἐκεῖσε
island also the sacrifices their they-perform because-of the there
ἵστασθαι παμμεγέθη δρῦν. καὶ θύουσι πετεινοὺς ζῶντας.
to-stand (a)-huge oak and they-sacrifice cocks living
πηγνύουσι δὲ καὶ σαγίττας γυρόθεν, ἄλλοι δὲ καὶ ψωμία
they-fix and also arrows around others and also bits-of-bread
καὶ κρέατα, καὶ ἐξ ὧν ἔχει ἕκαστος, ὡς τὸ ἔθος
and meats and of (the-things)-which has each as the custom
αὐτῶν ἐπικρατεῖ. ῥίπτουσι δὲ καὶ σκαρφία περὶ τῶν
their prevails they-throw and also lots concerning the
πετεινῶν, εἴτε σφάξαι αὐτοὺς εἴτε καὶ φαγεῖν εἴτε καὶ
cocks whether to-slaughter them or also to-eat or also
ζῶντας ἐάσειν. ἀπὸ δὲ τοῦ νησίου τούτου Πατζινακίτην
living to-let(-go) from and the islet this (a)-Pecheneg
οἱ Ῥῶς οὐ φοβοῦνται, ἕως ἂν φθάσωσιν εἰς τὸν ποταμὸν
the Rus not fear until — they-reach to the river
τὸν Σελινάν. εἶθ' οὕτως ἀποκινοῦντες ἐξ αὐτοῦ μέχρι
the Selinas then thus setting-out from it up-to
τεσσάρων ἡμερῶν ἀποπλέουσιν, ἕως οὗ καταλάβωσιν εἰς
four days they-sail-off until — they-reach to
τὴν λίμνην τοῦ ποταμοῦ στόμιον οὖσαν· ἐν ᾗ ἔστι καὶ
the lake of-the river mouth being in which is also
ἡ νῆσος τοῦ ἁγίου Αἰθερίου. καταλαβόντες οὖν οὗτοι τὴν
the island of-the holy Aitherios having-reached then these the
τοιαύτην νῆσον προσαναπαύουσιν ἑαυτοὺς ἐκεῖσε ἕως δύο
such island they-rest themselves there for two
καὶ τριῶν ἡμερῶν, καὶ πάλιν τὰ ἑαυτῶν μονόξυλα εἰς
and three days and again the their-own dugouts with

ὅσας ἂν λείπωνται χρείας περιποιοῦνται, τά τε ἄρμενα
as-many-as — they-may-lack needs they-supply the both sails
καὶ τὰ κατάρτια καὶ τὰ αὐχένια ἅπερ ἐπιφέρονται. ἐπεὶ
and the masts and the rudders which they-bring since
δὲ τὸ στόμιον τοῦ τοιούτου ποταμοῦ ἐστὶν ἡ τοιαύτη
and the mouth of-the such river is the such
λίμνη, καθὼς εἴρηται, καὶ κρατεῖ μέχρι τῆς θαλάσσης,
lake as has-been-said and extends up-to the sea
καὶ πρὸς τὴν θάλασσαν κεῖται ἡ νῆσος τοῦ ἁγίου
and toward the sea lies the island of-the holy
Αἰθερίου, ἐκ τῶν ἐκεῖσε ἀπέρχονται πρὸς τὸν Δάναπριν
Aitherios from the there they-go-away to the Dnieper
ποταμόν, καὶ διασωθέντες ἐκεῖσε πάλιν ἀναπαύονται.
river and having-come-safely there again they-rest
ἡνίκα δὲ γένηται καιρὸς ἐπιτήδειος, ἀποσκαλώσαντες
when and comes (a)-season suitable having-put-off
ἔρχονται εἰς τὸν ποταμὸν τὸν ἐπιλεγόμενον Ἄσπρον,
they-come to the river the(-one) called Aspros
καὶ ὁμοίως κἀκεῖσε ἀναπαυσάμενοι πάλιν ἀποκινοῦντες
and likewise there-too having-rested again setting-out
ἔρχονται εἰς τὸν Σελινάν, εἰς τὸ τοῦ Δανουβίου ποταμοῦ
they-come to the Selinas to the of-the Danube river
λεγόμενον παρακλάδιον. καὶ ἕως οὗ διέλθωσι τὸν
called branch and until — they-have-passed-through the
Σελινὰν ποταμόν, παρατρέχουσιν αὐτοῖς οἱ Πατζινακῖται·
Selinas river run-alongside them the Pechenegs
καὶ ἐὰν πολλάκις ἡ θάλασσα μονόξυλα εἰς τὴν γῆν
and if perhaps the sea dugouts onto the land
ἀπορρίψῃ, σκαλώνουσιν ὅλα, ἵνα τοῖς Πατζινακίταις
casts-up they-put-in all so-that to-the Pechenegs
ἀντιπαραταχθῶσιν ὁμοῦ. ἀπὸ δὲ τὸν Σελινὰν οὐ φοβοῦνταί
they-may-be-drawn-up-against together from and the Selinas not they-fear

τινα, ἀλλὰ τὴν τῆς Βουλγαρίας γῆν ἐνδυσάμενοι εἰς τὸ
anyone but the — of-Bulgaria land having-entered to the
τοῦ Δανουβίου στόμιον ἔρχονται. ἀπὸ δὲ τοῦ Δανουβίου
of-the Danube mouth they-come from and the Danube
καταλαμβάνουσιν εἰς τὸν Κωνοπάν, καὶ ἀπὸ τοῦ Κωνοπᾶ
they-reach to — Konopas and from — Konopas
εἰς Κωνσταντίαν εἰς τὸν ποταμὸν Βάρνας, καὶ ἀπὸ Βάρνας
to Constantia to the river of-Varna and from Varna
ἔρχονται εἰς τὸν ποταμὸν τὴν Διτζίναν, ἅπερ πάντα εἰσὶ
they-come to the river the Ditzina which all are
γῆς τῆς Βουλγαρίας. ἀπὸ δὲ τῆς Διτζίνας εἰς τὰ
of-(the)-land — of-Bulgaria from and the Ditzina to the
τῆς Μεσημβρίας μέρη καταλαμβάνουσι, καὶ οὕτω μέχρι
— of-Mesembria parts they-reach and thus up-to
τούτων ὁ πολυώδυνος αὐτῶν καὶ περίφοβος δυσδιέξοδός
these the much-painful their and terrifying hard-to-get-through
τε καὶ χαλεπὸς ἀποπεραίνεται πλοῦς.
both and hard is-completed voyage
Ἡ δὲ χειμέριος τῶν αὐτῶν Ῥῶς καὶ σκληρὰ διαγωγή
the and wintry of-the same Rus and harsh way-of-life
ἐστιν αὕτη. ἡνίκα ὁ Νοέμβριος μὴν εἰσέλθῃ, εὐθέως οἱ
is this when the November month has-come-in at-once the
αὐτῶν ἄρχοντες ἐξέρχονται μετὰ πάντων τῶν Ῥῶς ἀπὸ
their princes go-out with all the Rus from
τὸν Κίαβον, καὶ ἀπέρχονται εἰς τὰ πολύδια ἃ λέγεται
— Kiev and go-away to the circuits which is-called
Γύρα, ἤγουν εἰς τὰς Σκλαβινίας τῶν τε Βερβιάνων καὶ
Gyra that-is to the Slavinias of-the both Vervians and
τῶν Δρουγουβιτῶν καὶ Κριβιτζῶν καὶ τῶν Σερβίων καὶ
of-the Drougouvites and Krivitzians and of-the Serbs and
λοιπῶν Σκλάβων, οἵτινές εἰσι πακτιῶται τῶν Ῥῶς. δι᾽
other Slavs who are tributaries of-the Rus through

ὅλου δὲ τοῦ χειμῶνος ἐκεῖσε διατρεφόμενοι, πάλιν ἀπὸ
whole and the winter there being-maintained again from
μηνὸς Ἀπριλλίου διαλυομένου τοῦ πάγους τοῦ Δανάπρεως
(the)-month of-April melting the ice of-the Dnieper
ποταμοῦ κατέρχονται πρὸς τὸν Κίαβον. καὶ εἶθ' οὕτως
river they-come-down to — Kiev and then thus
ἀπολαμβάνονται τὰ αὐτῶν μονόξυλα καθὼς προείρηται,
they-take-up the their dugouts as has-been-said-before
καὶ ἐξοπλίζονται, καὶ πρὸς Ῥωμανίαν κατέρχονται.
and they-equip and to Romania come-down
Ὅτι οἱ Οὖζοι δύνανται τοῖς Πατζινακίταις πολεμεῖν.
that the Uzes are-able the Pechenegs to-war-upon

X · HOW KHAZARIA IS TO BE FOUGHT

The Uzes can make war on the Khazars, and so can the ruler of Alania, whose land lies next to the nine regions of Khazaria on which the whole livelihood of Khazaria depends.

περὶ τῆς Χαζαρίας, πῶς δεῖ πολεμεῖσθαι καὶ παρά
concerning — Khazaria how (it)-must be-warred-upon and by
τινων.
whom
Ὅτι οἱ Οὖζοι δύνανται πολεμεῖν τοὺς Χαζάρους ὡς αὐτοῖς
that the Uzes are-able to-war-upon the Khazars as them
πλησιάζοντες. ὁμοίως καὶ ὁ ἐξουσιοκράτωρ Ἀλανίας, ὅτι
bordering likewise also the exousiocrator of-Alania because
τὰ ἐννέα κλίματα τῆς Χαζαρίας τῇ Ἀλανίᾳ παράκειναι,
the nine regions — of-Khazaria — to-Alania lie-near
καὶ δύναται ὁ Ἀλανός, εἰ ἄρα καὶ βούλεται, ταῦτα
and is-able the Alan if then indeed he-wishes these

πραιδεύειν καὶ μεγάλην βλάβην καὶ ἔνδειαν ἐντεῦθεν τοῖς
to-plunder and great harm and want from-this to-the
Χαζάροις ποιεῖν· ἐκ γὰρ τῶν ἐννέα κλιμάτων τούτων
Khazars to-cause from for the nine regions these
ἡ πᾶσα ζωὴ καὶ ἀφθονία τῆς Χαζαρίας καθέστηκεν.
the whole livelihood and abundance — of-Khazaria consists

XI · CHERSON AND BOSPORUS

If the ruler of Alania is not at peace with the Khazars and values the emperor's friendship more, he can do them great harm whenever they will not keep peace with the emperor, ambushing them on their roads to Sarkel, the Regions, and Cherson. If he sets himself to hinder them, Cherson and the Regions enjoy deep peace, for the Khazars, fearing the Alans and unable to fight two enemies at once, will be forced to keep it.

περὶ τοῦ κάστρου Χερσῶνος, καὶ τοῦ κάστρου Βοσπόρου.
concerning the fortress of-Cherson and the fortress of-Bosporus
Ὅτι τοῦ ἐξουσιοκράτορος Ἀλανίας μετὰ τῶν Χαζάρων
that the exousiocrator of-Alania with the Khazars
μὴ εἰρηνεύοντος, ἀλλὰ μᾶλλον προτιμοτέραν τιθεμένου
not being-at-peace but rather more-to-be-valued holding
τὴν φιλίαν τοῦ βασιλέως Ῥωμαίων, ἐὰν οἱ Χάζαροι οὐ
the friendship of-the emperor of-(the)-Romans if the Khazars not
βούλωνται τὴν πρὸς τὸν βασιλέα φιλίαν καὶ εἰρήνην
wish the toward the emperor friendship and peace
τηρεῖν, δύναται μεγάλως αὐτοὺς κακοῦν, τάς τε ὁδοὺς
to-keep he-is-able greatly them to-harm the both roads
ἐνεδρεύων καὶ ἀφυλάκτως αὐτοῖς ἐπιτιθέμενος ἐν τῷ
lying-in-wait-on and unguardedly them attacking in the
διέρχεσθαι πρός τε τὸ Σάρκελ καὶ τὰ κλίματα καὶ
to-pass-through to both — Sarkel and the regions and

τὴν Χερσῶνα. καὶ εἰ ποιήσεται σπουδὴν ὁ τοιοῦτος
— *Cherson and if makes eagerness the such*
ἐξουσιοκράτωρ τοῦ κωλύειν αὐτούς, μεγάλης καὶ βαθείας
exousiocrator of-the to-hinder them great and deep
εἰρήνης μετέχουσιν ἥ τε Χερσὼν καὶ τὰ κλίματα·
peace share — both Cherson and the regions
φοβούμενοι γὰρ οἱ Χάζαροι τὴν τῶν Ἀλανῶν ἐπίθεσιν,
fearing for the Khazars the of-the Alans attack
καὶ μὴ εὑρίσκοντες ἄδειαν μετὰ φοσσάτου ἐπιτίθεσθαι τῇ
and not finding freedom with (an)-army to-attack —
Χερσῶνι καὶ τοῖς κλίμασιν ὡς μὴ πρὸς ἀμφοτέρους ἐν
Cherson and the regions as not against both at
ταὐτῷ πολεμεῖν ἐξισχύοντες, εἰρηνεύειν ἀναγκασθήσονται.
the-same-time to-war being-strong-enough to-be-at-peace they-will-be-compelled

XII · BLACK BULGARIA AND KHAZARIA

Black Bulgaria can also make war on the Khazars.

περὶ τῆς μαύρης Βουλγαρίας καὶ Χαζαρίας.
concerning the black Bulgaria and Khazaria
Ὅτι καὶ ἡ μαύρη λεγομένη Βουλγαρία δύναται τοῖς
that also the black called Bulgaria is-able the
Χαζάροις πολεμεῖν.
Khazars to-war-upon

XIII · THE NATIONS NEAR THE TURKS; WHAT NOT TO GRANT

The Franks, the Pechenegs, great Moravia, and the Croats border on the Turks. Constantine teaches his son to refuse the northern nations' greedy requests. Imperial robes and crowns were sent by an angel to Constantine the Great and must stay in Hagia Sophia; Leo, who wore one unbidden, died of a carbuncle. Liquid fire, revealed by an angel, may never be given away. Nor may an emperor marry into a foreign nation except the Franks: Leo broke this rule with the chagan's daughter, and Romanos, an unlettered man, gave his granddaughter to the Bulgarian Peter.

περὶ τῶν πλησιαζόντων ἐθνῶν τοῖς Τούρκοις.
concerning the neighboring nations to-the Turks

Ὅτι τοῖς Τούρκοις τὰ τοιαῦτα ἔθνη παράκεινται,
that to-the Turks the such nations lie-near

πρὸς μὲν τὸ δυτικώτερον μέρος αὐτῶν ἡ Φραγγία,
toward indeed the more-western part their — Frankland

πρὸς δὲ τὸ βορειότερον οἱ Πατζινακῖται, καὶ πρὸς τὸ
toward and the more-northern the Pechenegs and toward the

μεσημβρινὸν μέρος ἡ μεγάλη Μοραβία ἤτοι ἡ χώρα
southern part the great Moravia that-is the land

τοῦ Σφενδοπλόκου, ἥτις καὶ παντελῶς ἠφανίσθη παρὰ
— of-Sphendoplokos which also utterly was-destroyed by

τῶν τοιούτων Τούρκων καὶ παρ' αὐτῶν κατεσχέθη. οἱ
the such Turks and by them was-occupied the

δὲ Χρωβάτοι πρὸς τὰ ὄρη τοῖς Τούρκοις παράκεινται.
and Croats toward the mountains to-the Turks lie-near

Ὅτι δύνανται καὶ οἱ Πατζινακῖται τοῖς Τούρκοις ἐπιτίθεσθαι
that are-able also the Pechenegs the Turks to-attack

καὶ μεγάλως πραιδεύειν καὶ παραβλάπτειν αὐτούς, καθὼς
and greatly to-plunder and to-harm them as

καὶ ἐν τῷ περὶ Πατζινακιτῶν κεφαλαίῳ προείρηται.
also in the concerning (the)-Pechenegs chapter has-been-said-before

Ἐπίστησον, υἱέ, διανοίας ὄμμα τῆς σῆς λόγοις ἐμοῖς, καὶ
set son of-mind (the)-eye the your to-words my and
γνῶθι ἅ σοι ἐντέλλομαι, καὶ ἕξεις ἐν καιρῷ
know (the-things)-which to-you I-command and you-will-be-able in season
ὡς ἐκ πατρικῶν θησαυρῶν προφέρειν πλοῦτον φρονήσεως
as from paternal treasures to-bring-forth (a)-wealth of-prudence
καὶ ἐπιδείκνυσθαι χύμα συνέσεως. ἴσθι οὖν ὅτι τοῖς βορείοις
and to-display (a)-flood of-understanding know then that to-the northern
ἅπασι γένεσι φύσις ὥσπερ καθέστηκεν τὸ ἐν χρήμασι
all races (a)-nature as-it-were has-become the in monies
λίχνον καὶ ἄπληστον καὶ μηδέποτε κορεννύμενον, ὅθεν πάντα
greedy and insatiable and never satisfied whence all-things
ἐπιζητεῖ καὶ πάντων ἐφίεται καὶ οὐκ ἔχει τὰς ἐπιθυμίας
it-seeks and all-things desires and not has the desires
ὅρῳ περιγραφομένας, ἀλλ᾽ ἀεὶ τοῦ πλείονος ἐπιθυμεῖ,
by-(a)-limit bounded but always of-the more desires
καὶ ἀντὶ μικρᾶς ὠφελείας μεγάλα κέρδη προσπορίζεσθαι
and in-return-for small benefit great gains to-acquire
βούλεται. διὸ δεῖ τὰς τούτων ἀκαίρους αἰτήσεις καὶ
wishes therefore (one)-must the their untimely requests and
παρρησιαστικὰς ἀξιώσεις διὰ λόγων πιθανῶν καὶ φρονίμων
outspoken claims by words persuasive and prudent
καὶ συνετῶν ἀπολογιῶν ἀνατρέπειν καὶ ἀνακρούεσθαι,
and intelligent defenses to-overturn and to-repulse
αἵτινες, ὅσον ἀπὸ τῆς πείρας ἡμεῖς καταλαβεῖν ἠδυνήθημεν,
which as-far-as from the experience we to-grasp have-been-able
ὡς ἐν τύπῳ περιλαβεῖν, τοιαῦταί τινες ἔσονται.
as in outline to-comprise such some will-be
Εἰ ἀξιώσουσί ποτε καὶ αἰτήσονται εἴτε Χάζαροι εἴτε
if they-claim ever and ask either Khazars or
Τοῦρκοι εἴτε καὶ Ῥῶς ἢ ἕτερόν τι ἔθνος τῶν βορείων
Turks or also Rus or other some nation of-the northern

καὶ Σκυθικῶν, οἷα πολλὰ συμβαίνει, ἐκ τῶν βασιλείων
and Scythian such-as many happens of the imperial
ἐσθήτων ἢ στεμμάτων ἢ στολῶν ἕνεκά τινος δουλείας
vestments or diadems or robes for-the-sake of-some service
καὶ ὑπουργίας αὐτῶν ἀποσταλῆναι αὐτοῖς, οὕτω χρή
and assistance their to-be-sent to-them thus (it)-is-needful
σε ἀπολογίσασθαι, ὅτι αἱ τοιαῦται στολαὶ καὶ τὰ
you to-excuse(-yourself) that the such robes and the
στέμματα ἃ παρ' ἡμῶν καμελαύκια ὀνομάζεται οὔτε
diadems which by us kamelaukia are-named neither
παρὰ ἀνθρώπων κατεσκευάσθησαν οὔτε ἐξ ἀνθρωπίνων
by men were-made nor from human
τεχνῶν ἐπενοήθησαν ἢ ἐξειργάσθησαν· ἀλλ' ὡς ἀπὸ
arts were-devised or were-wrought but as from
παλαιᾶς ἱστορίας ἐν ἀπορρήτοις λόγοις γεγραμμένον
(an)-ancient history in secret writings written
εὑρίσκομεν, ἡνίκα ὁ θεὸς βασιλέα ἐποίησε Κωνσταντῖνον
we-find when — God emperor made Constantine
ἐκεῖνον τὸν μέγαν τὸν πρῶτον Χριστιανὸν βασιλεύσαντα,
that the great the first Christian having-reigned
δι' ἀγγέλου αὐτῷ τὰς τοιαύτας στολὰς ἐξαπέστειλεν
through (an)-angel to-him the such robes he-sent
καὶ τὰ στέμματα ἃ παρ' ἡμῶν καμελαύκια λέγεται, καὶ
and the diadems which by us kamelaukia are-called and
διωρίσατο αὐτῷ θεῖναι ταῦτα ἐν τῇ μεγάλῃ τοῦ θεοῦ ἁγίᾳ
ordained him to-lay these in the great — of-God holy
ἐκκλησίᾳ ἥτις ἐπ' ὀνόματι αὐτῆς ἐνυποστάτου σοφίας
church which in name of-the-very hypostatic wisdom
θεοῦ ἁγία σοφία κατονομάζεται, καὶ μὴ καθ' ἑκάστην αὐτὰ
of-God holy wisdom is-named and not by each(-day) them
ἀμφιέννυσθαι, ἀλλ' ὅτε δημοτελὴς καὶ μεγάλη τυγχάνῃ
to-put-on but when public and great happens

δεσποτικὴ ἑορτή. διὸ δὴ θεοῦ προστάγματι ταῦτα
(a)-dominical feast therefore indeed of-God by-(the)-command these
ἀπέθετο, ἅτινα καὶ ἄνωθεν τῆς ἁγίας τραπέζης ἐν τῷ
he-laid-up which also above the holy table in the
θυσιαστηρίῳ τοῦ αὐτοῦ ναοῦ ἀποκρέμαται καὶ εἰς κόσμον
sanctuary of-the same temple hang and for adornment
τῆς ἐκκλησίας καθέστηκεν. τὰ δὲ λοιπὰ ἱμάτια καὶ σαγία
of-the church have-been-set the and other garments and mantles
βασιλικὰ τῆς ἱερᾶς ταύτης τραπέζης ἄνωθεν ἐπίκεινται
imperial of-the holy this table above lie
ἐφαπλούμενα. ἡνίκα δὲ καταλάβῃ τοῦ κυρίου ἡμῶν καὶ
spread-out when and arrives of-the Lord our and
θεοῦ Ἰησοῦ Χριστοῦ ἑορτή, ἀναλαμβάνεταί τε ἐκ τοιούτων
God Jesus Christ (a)-feast takes both from such
στολῶν καὶ στεμμάτων τὰ πρὸς τὸν καιρὸν ἐπιτήδεια
robes and diadems the(-ones) for the season suitable
καὶ ἁρμόζοντα ὁ πατριάρχης καὶ ἀποστέλλει πρὸς τὸν
and fitting the patriarch and sends to the
βασιλέα, καὶ ἀμφιέννυται αὐτὰ ἐκεῖνος ὡς ὑπηρέτης θεοῦ
emperor and puts-on them he as servant of-God
καὶ διάκονος ἐν τῇ προελεύσει καὶ μόνον, καὶ πάλιν
and deacon in the procession and only and again
μετὰ τὴν χρείαν ἀντιστρέφει αὐτὰ πρὸς τὴν ἐκκλησίαν,
after the use he-returns them to the church
καὶ ἀπόκειται ἐν αὐτῇ. ἀλλὰ καὶ κατάρα τοῦ ἁγίου καὶ
and they-are-laid-up in it but also (a)-curse of-the holy and
μεγάλου Κωνσταντίνου ἔστιν ἐν τῇ ἁγίᾳ ταύτῃ τραπέζῃ
great Constantine is on the holy this table
τῆς τοῦ θεοῦ ἐκκλησίας ἐγγεγραμμένη, καθὼς αὐτῷ ὁ θεὸς
of-the — of-God church inscribed as him — God
διὰ τοῦ ἀγγέλου διωρίσατο, ἵνα ἐὰν βουληθῇ βασιλεὺς
through the angel ordained that if wishes (an)-emperor

διά τινα χρείαν ἢ περίστασιν ἢ ἐπιθυμίαν ἄκαιρον ἐξ
because-of some need or circumstance or desire untimely from
αὐτῶν ἐπᾶραι καὶ ἢ αὐτὸς καταχρήσασθαι ἢ ἑτέροις
them to-take-up and either himself to-make-use or to-others
χαρίσασθαι, ὡς πολέμιος καὶ τῶν τοῦ θεοῦ προσταγμάτων
to-give(-them) as (an)-enemy and of-the — of-God commands
ἐχθρὸς ἀναθεματίζηται καὶ τῆς ἐκκλησίας ἀποκηρύττηται.
foe be-be-anathematized and from-the church be-proclaimed-outcast
εἰ δὲ καὶ αὐτὸς ἕτερα ὅμοια καμεῖν βουληθῇ, ἵνα καὶ
if and also he other like-ones to-make wishes that also
αὐτὰ ἡ τοῦ θεοῦ ἐκκλησία ἀναλαμβάνηται, τῶν ἀρχιερέων
them the — of-God church may-take-up of-the high-priests
πάντων εἰς ταῦτα παρρησιαζομένων καὶ τῆς συγκλήτου· καὶ
all to these being-outspoken and of-the senate and
μὴ ἔχειν ἐξουσίαν μήτε τὸν βασιλέα μήτε τὸν πατριάρχην
not to-have authority neither the emperor nor the patriarch
μήτε ἕτερόν τινα τὰς τοιαύτας ἀναλαμβάνεσθαι στολὰς
nor other anyone the such to-take-up robes
ἢ τὰ στέμματα ἀπὸ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας.
or the diadems from the holy — of-God church
καὶ φόβος μέγας ἐπήρτηται τοῖς βουλομένοις ἀνατρέπειν
and fear great hangs-over those wishing to-overturn
τι τῶν τοιούτων θεϊκῶν διατάξεων· εἷς γάρ τις τῶν
any of-the such divine ordinances one for certain of-the
βασιλέων, Λέων ὀνόματι, ὃς καὶ ἀπὸ Χαζαρίας γυναῖκα
emperors Leo by-name who also from Khazaria (a)-wife
ἠγάγετο, ἀβούλῳ τόλμῃ χρησάμενος ἓν τῶν τοιούτων
took ill-advised daring having-used one of-the such
ἀνελάβετο στεμμάτων δεσποτικῆς μὴ παρούσης ἑορτῆς,
took diadems dominical not being-present (a)-feast
καὶ δίχα γνώμης τοῦ πατριάρχου τοῦτο περιεβάλετο, καὶ
and without (the)-consent of-the patriarch this put-on and

εὐθέως ἄνθρακα ἐπὶ τοῦ μετώπου ἐκβαλὼν καὶ ταῖς
at-once (a)-carbuncle on the forehead having-broken-out and by-the
ἐκ τούτου ὀδύναις κατατρυχόμενος κακινκάκως ἀπέρρηξε
from this pains being-worn-out wretchedly he-broke-off
τὸ ζῆν καὶ πρὸ καιροῦ τὸν θάνατον ἐπεσπάσατο. καὶ
the to-live and before (his)-time the death drew-on-himself and
τοῦ τοιούτου συντόμως ἐκδικηθέντος τολμήματος ἔκτοτε
the such swiftly having-been-avenged daring from-then
τύπος ἐγένετο ὥστε ἐν τῷ μέλλειν στέφεσθαι τὸν βασιλέα
(a)-rule came-about so-that in the to-be-about to-be-crowned the emperor
πρότερον ὀμνύειν καὶ ἀσφαλίζεσθαι ὅτι οὐδὲν ἐναντίον τῶν
first to-swear and to-give-assurance that nothing contrary-to the
προστεταγμένων καὶ ἐκ παλαιοῦ φυλαττομένων τολμήσῃ
commanded-things and from of-old kept he-will-dare
ποιήσειν ἢ ἐννοήσασθαι, καὶ οὕτως ὑπὸ τοῦ πατριάρχου
to-do or to-think and thus by the patriarch
στέφεσθαι καὶ τὰ ἁρμόζοντα τῇ καθεστώσῃ ἑορτῇ
to-be-crowned and the(-things) fitting to-the established feast
ἐπιτελεῖν τε καὶ διαπράττεσθαι.
to-perform both and to-carry-out
Ὡσαύτως χρή σε καὶ περὶ τοῦ ὑγροῦ πυρὸς τοῦ
likewise (it)-is-needful you also concerning the liquid fire the(-one)
διὰ τῶν σιφώνων ἐκφερομένου μεριμνᾶν τε καὶ μελετᾶν,
through the siphons discharged to-take-thought both and to-study
ὡς εἴπερ ποτὲ τολμήσωσί τινες καὶ αὐτὸ ἐπιζητῆσαι,
so-that if ever dare some also it to-ask-for
καθὼς καὶ παρ᾽ ἡμῶν πολλάκις ἐζήτησαν, τοιούτοις αὐτοὺς
as also from us often they-have-asked with-such them
ἔχοις ἀποκρούεσθαι καὶ ἀποπέμπεσθαι ῥήμασιν,
you-may-be-able to-repulse and to-send-away words
ὅτι καὶ αὐτὸ δι᾽ ἀγγέλου τῷ μεγάλῳ καὶ πρώτῳ
that also it through (an)-angel to-the great and first

βασιλεῖ Χριστιανῷ ἁγίῳ Κωνσταντίνῳ ἐφανερώθη καὶ
emperor Christian holy Constantine was-revealed and
ἐδιδάχθη, παραγγελίας δὲ μεγάλας καὶ περὶ τούτου
was-taught commands and great also concerning this
παρὰ τοῦ αὐτοῦ ἀγγέλου ἐδέξατο, ὡς παρὰ πατέρων καὶ
from the same angel he-received as from fathers and
πάππων πιστωθέντες πληροφορούμεθα, ἵνα ἐν μόνοις
grandfathers having-been-assured we-are-informed that among only
τοῖς Χριστιανοῖς καὶ τῇ ὑπ' αὐτῶν βασιλευομένῃ πόλει
the Christians and in-the by them ruled city
κατασκευάζηται, ἀλλαχοῦ δὲ μηδαμῶς, μήτε εἰς ἕτερον
it-may-be-made elsewhere and in-no-way neither to other
ἔθνος τὸ οἷον δήποτε παραπέμπηται μήτε διδάσκηται.
nation the what-kind soever may-be-transmitted nor may-be-taught
ὅθεν καὶ τοῖς μετ' αὐτὸν ὁ μέγας οὗτος βασιλεὺς
whence also to-those after him the great this emperor
ἐξασφαλιζόμενος περὶ τούτου ἐν τῇ ἁγίᾳ τραπέζῃ τῆς
making-sure concerning this on the holy table of-the
τοῦ θεοῦ ἐκκλησίας ἀρὰς ἐγγραφῆναι πεποίηκεν, ἵνα ὁ
— of-God church curses to-be-inscribed caused that the(-one)
ἐκ τοῦ τοιούτου πυρὸς εἰς ἕτερον ἔθνος δοῦναι τολμήσας
of the such fire to other nation to-give having-dared
μήτε Χριστιανὸς ὀνομάζηται μήτε ἀξίας τινὸς ἢ ἀρχῆς
neither Christian be-named nor of-dignity any or of-office
ἀξιοῦται, ἀλλ' εἴ τινα καὶ ἔχων τύχῃ, καὶ ἀπὸ ταύτης
be-deemed-worthy but if any also having he-happens also from this
ἐκβάλληται καὶ εἰς αἰῶνα αἰώνων ἀναθεματίζηται καὶ
be-cast-out and to (the)-age of-ages be-anathematized and
παραδειγματίζηται, εἴτε βασιλεὺς εἴτε πατριάρχης εἴτε τις
be-made-an-example whether emperor or patriarch or some
ἄλλος οἷος οὖν ἄνθρωπος εἴτε ἄρχων εἴτε ἀρχόμενος
other whatever soever man whether ruler or ruled

τυγχάνοι ὁ τὴν τοιαύτην ἐντολὴν παραβαίνειν
may-happen-to-be the(-one) the such command to-transgress
πειρώμενος. καὶ προυτρέψατο πάντας τοὺς ζῆλον καὶ
attempting and he-exhorted all those zeal and
φόβον θεοῦ ἔχοντας ὡς κοινὸν ἐχθρὸν καὶ παραβάτην
fear of-God having as (a)-common enemy and transgressor
τῆς μεγάλης ταύτης ἐντολῆς τὸν τοιοῦτο ἐπιχειροῦντα
of-the great this command the(-one) such-a-thing attempting
ποιεῖν ἀναιρεῖν σπουδάζειν καὶ ἐκτίστῳ τῷ χαλεπῷ
to-do to-destroy to-be-eager and to-most-hateful the hard
παραπέμπεσθαι θανάτῳ. συνέβη δέ ποτε τῆς κακίας ἀεὶ
to-be-sent death it-happened and once the wickedness always
χώραν εὑρισκούσης τινὰ τῶν ἡμετέρων στρατηγῶν,
room finding (a)-certain(-one) of-the our generals
δῶρα παρά τινων ἐθνικῶν πάμπολλα εἰληφότα, μεταδοῦναι
gifts from certain heathens very-many having-received to-share
αὐτοῖς ἐκ τοῦ τοιούτου πυρός, καὶ μὴ ἀνεχομένου τοῦ
with-them from the such fire and not enduring —
θεοῦ ἀνεκδίκητον καταλιπεῖν τὴν παράβασιν, ἐν τῷ μέλλειν
God unavenged to-leave the transgression in the to-be-about
αὐτὸν ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ εἰσιέναι ἐκκλησίᾳ πῦρ ἐκ τοῦ
him into the holy — of-God to-go church fire from the
οὐρανοῦ κατελθὸν τοῦτον κατέφαγε καὶ ἀνήλωσεν. καὶ
heaven having-come-down him devoured and consumed and
ἀπὸ τότε φόβος μέγας καὶ τρόμος ἐν ταῖς ἁπάντων ἐνετέθη
from then fear great and trembling in the of-all was-put
ψυχαῖς, καὶ οὐκέτι οὐδεὶς τοῦ λοιποῦ, οὔτε βασιλεὺς
souls and no-longer anyone for-the rest(-of-time) neither emperor
οὔτε ἄρχων, οὔτε ἰδιώτης οὔτε στρατηγός, οὔτε οἷος
nor ruler nor private-man nor general nor whatever

οὖν ὅλως ἄνθρωπος κατετόλμησέ τι τοιοῦτον ἐνθυμηθῆναι,
then at-all man dared any such-thing to-consider
μήτι γε καὶ ἔργῳ ἐπιχειρῆσαι ποιῆσαι ἢ διαπράξασθαι.
much-less even also in-deed to-attempt to-do or to-accomplish
Ἀλλ' ἄγε δὴ μετάβηθι, καὶ πρὸς ἕτερον εἶδος αἰτήσεως
but come indeed pass-over also to another kind of-request
παραλόγου καὶ ἀπρεποῦς εὐπρεπεῖς καὶ ἁρμόζοντας λόγους
unreasonable and unseemly seemly and fitting words
ἀναζήτει καὶ ἀναμάνθανε. εἰ γάρ ποτε ἔθνος τι ἀπὸ τῶν
seek-out and learn if for ever nation some from the
ἀπίστων τούτων καὶ ἀτίμων βορείων γενῶν αἰτήσεται
faithless these and dishonorable northern races ask
συμπενθεριάσαι μετὰ τοῦ βασιλέως Ῥωμαίων καὶ ἢ
to-ally-by-marriage with the emperor of-(the)-Romans and either
θυγατέρα αὐτοῦ εἰς νύμφην λαβεῖν ἢ ἐπιδοῦναι οἰκείαν
(a)-daughter his for (a)-bride to-take or to-give own
θυγατέρα ἢ γυναῖκα χρηματίσαι βασιλέως ἢ βασιλέως
daughter or wife to-become of-(an)-emperor or of-(an)-emperor's
υἱοῦ, χρή σε τοιούτοις ῥήμασι καὶ τὴν τοιαύτην αὐτῶν
son (it)-is-needful you with-such words also the such their
παράλογον ἀποκρούσασθαι αἴτησιν, λέγοντα ὅτι καὶ περὶ
unreasonable to-repulse request saying that also concerning
ταύτης τῆς ὑποθέσεως παραγγελία καὶ διάταξις φοβερὰ
this the matter (a)-charge and ordinance fearful
καὶ ἀπαραποίητος τοῦ μεγάλου καὶ ἁγίου Κωνσταντίνου
and unalterable of-the great and holy Constantine
ἐναπογέγραπται ἐν τῇ ἱερᾷ τραπέζῃ τῆς καθολικῆς
is-inscribed on the holy table of-the catholic
τῶν Χριστιανῶν ἐκκλησίας τῆς ἁγίας σοφίας, τοῦ
of-the Christians church of-the holy wisdom of-the
μηδέποτε βασιλέα Ῥωμαίων συμπενθεριάσαι μετὰ ἔθνους
never (an)-emperor of-(the)-Romans to-ally-by-marriage with (a)-nation

παρηλλαγμένοις καὶ ξένοις ἔθεσι χρωμένου τῆς Ῥωμαϊκῆς
altered and foreign customs using from-the Roman
καταστάσεως, μάλιστα δὲ ἀλλοπίστου καὶ ἀβαπτίστου,
order especially and of-other-faith and unbaptized
εἰ μὴ μετὰ μόνων τῶν Φράγγων· τούτους γὰρ μόνους
if not with only the Franks these for alone
ὑπεξείλετο ὁ μέγας ἐκεῖνος ἀνὴρ Κωνσταντῖνος ὁ ἅγιος,
he-excepted the great that man Constantine the holy
ὅτι καὶ αὐτὸς τὴν γένεσιν ἀπὸ τῶν τοιούτων ἔσχε μερῶν
because also he the origin from the such had parts
ὡς συγγενείας καὶ ἐπιμιξίας πολλῆς τυγχανούσης Φράγγοις
as kinship and intermixture much happening to-Franks
τε καὶ Ῥωμαίοις· καὶ διὰ τοῦτο μετὰ τούτων μόνων
both and to-(the)-Romans and because-of this with these only
προυτρέψατο συνιστῶν γαμικὰ συναλλάγια τοὺς βασιλεῖς
he-exhorted establishing marriage contracts the emperors
Ῥωμαίων διὰ τὴν ἄνωθεν τῶν μερῶν ἐκείνων καὶ
of-(the)-Romans because-of the from-of-old of-the parts those and
γενῶν περιφάνειαν καὶ εὐγένειαν, μετ᾽ ἄλλου δὲ τοῦ οἵου
races renown and noble-birth with other and the what-kind
δήποτε ἔθνους μὴ δυναμένους τοῦτο ποιεῖν, ἀλλ᾽ ὁ
soever nation not being-able this to-do but the(-one)
τοῦτο ποιῆσαι τολμήσας ἵνα ὡς παραβάτης πατρικῶν
this to-do having-dared that as transgressor of-ancestral
εἰσηγήσεων καὶ βασιλείων θεσμῶν ἀλλότριος κρίνοιτο τῶν
injunctions and of-imperial laws alien he-be-judged from-the
Χριστιανῶν καταλόγων καὶ τῷ ἀναθέματι παραδίδοιτο.
Christian rolls and to-the anathema be-handed-over
ὁ δὲ προμνημονευθεὶς Λέων ἐκεῖνος ὁ βασιλεύς, ὁ
the and before-mentioned Leo that the emperor the(-one)
καὶ τὸ στέμμα, καθὼς ἀνωτέρω προείρηται, παρανόμως
also the diadem as above has-been-said-before unlawfully

καὶ τολμηρῶς ἀπὸ τῆς ἐκκλησίας δίχα γνώμης τοῦ τότε
and daringly from the church without (the)-consent of-the then
πατριαρχεύοντος λαβὼν καὶ περιθέμενος καὶ τὴν δίκην
being-patriarch having-taken and having-put-on and the penalty
συντόμως δοὺς ἀξίαν τῆς αὐτοῦ πονηρᾶς ἐγχειρήσεως,
swiftly having-paid worthy of-the his wicked attempt
ἐτόλμησε καὶ τὴν τοιαύτην ἐντολὴν τοῦ ἁγίου βασιλέως
dared also the such command of-the holy emperor
ἐκείνου, ἥτις, ὡς ἤδη δεδήλωται, ἐν τῇ ἁγίᾳ τραπέζῃ
that which as already has-been-shown on the holy table
ἀναγεγραμμένη καθέστηκεν, παρὰ φαῦλον θέσθαι καὶ ὡς
inscribed stands as worthless to-set and as
μηδὲν λογίσασθαι, καὶ ὡς ἅπαξ ἔξω τοῦ θείου φόβου καὶ
nothing to-reckon and as once outside of-the divine fear and
τῶν ἐντολῶν αὐτοῦ πεποίηκεν ἑαυτόν, συνεστήσατο καὶ
of-the commands his he-has-made himself contracted also
μετὰ τοῦ χαγάνου Χαζαρίας γαμικὸν συναλλάγιον, καὶ τὴν
with the chagan of-Khazaria (a)-marriage contract and the
θυγατέρα αὐτοῦ εἰς γυναῖκα ἐδέξατο, καὶ μέγα ἐκ τούτου
daughter his for wife received and great from this
ὄνειδος καὶ τῇ Ῥωμαίων ἀρχῇ καὶ ἑαυτῷ προσετρίψατο
reproach both on-the of-(the)-Romans rule and on-himself he-brought
ὡς τὰ προγονικὰ παραγγέλματα ἀκυρώσας καὶ παρ᾽ οὐδὲν
as the ancestral precepts having-annulled and at nothing
λογισάμενος. πλὴν οὐδὲ ὀρθόδοξος Χριστιανὸς ἦν ἐκεῖνος,
having-reckoned however not-even orthodox Christian was that-man
ἀλλ᾽ αἱρετικὸς καὶ εἰκονομάχος. διὸ χάριν τῶν
but (a)-heretic and iconoclast therefore for-the-sake-of the
τοιούτων αὐτοῦ παρανόμων ἀσεβημάτων ἐν τῇ τοῦ θεοῦ
such his lawless impieties in the — of-God
ἐκκλησίᾳ διηνεκῶς ἀποκηρύττεται καὶ ἀναθεματίζεται ὡς
church continually he-is-proclaimed-outcast and is-anathematized as

καὶ τῆς τοῦ θεοῦ καὶ τῆς τοῦ ἁγίου καὶ μεγάλου βασιλέως
both of-the — of-God and of-the of-the holy and great emperor
Κωνσταντίνου διατάξεως παραβάτης καὶ ἀνατροπεύς. πῶς
Constantine ordinance transgressor and overturner how
γάρ ἐστι τῶν ἐνδεχομένων Χριστιανοὺς μετὰ ἀπίστων
for is-it of-the possible-things (for)-Christians with unbelievers
γαμικὰς κοινωνίας ποιεῖν καὶ συμπενθεριάζειν, τοῦ κανόνος
marriage partnerships to-make and to-ally-by-marriage the canon
τοῦτο κωλύοντος καὶ τῆς ἐκκλησίας ἁπάσης ἀλλότριον
this forbidding and the church whole alien
αὐτὸ λογιζομένης καὶ ἔξω τῆς Χριστιανικῆς καταστάσεως;
it reckoning and outside of-the Christian order
ἢ τίς τῶν ἐγκρίτων καὶ εὐγενῶν καὶ σοφῶν βασιλέων
or who of-the eminent and noble and wise emperors
Ῥωμαίων κατεδέξατο; εἰ δὲ ἀντείπωσιν, πῶς ὁ κύριος
of-(the)-Romans accepted(-it) if and they-object how the lord
Ῥωμανὸς ὁ βασιλεὺς μετὰ Βουλγάρων συνεπενθερίασεν
Romanos the emperor with Bulgarians allied-by-marriage
καὶ τὴν ἰδίαν ἐκγόνην δέδωκεν τῷ κυρίῳ Πέτρῳ τῷ
and the own granddaughter gave to-the lord Peter the
Βουλγάρῳ, δεῖ ἀπολογήσασθαι ὅτι ὁ κύριος Ῥωμανὸς
Bulgarian (one)-must reply that the lord Romanos
ὁ βασιλεὺς ἰδιώτης καὶ ἀγράμματος ἄνθρωπος ἦν,
the emperor (a)-private-man and unlettered man was
καὶ οὔτε τῶν ἄνωθεν ἐν βασιλείοις τεθραμμένων οὔτε
and neither of-those from-of-old in palaces brought-up nor
τῶν παρηκολουθηκότων ἐξ ἀρχῆς τοῖς Ῥωμαϊκοῖς
of-those having-followed from (the)-beginning the Roman
ἐθισμοῖς οὔτε ἀπὸ γένους βασιλείου καὶ εὐγενοῦς, καὶ
customs nor from race imperial and noble and
διὰ τοῦτο αὐθαδέστερον καὶ ἐξουσιαστικώτερον τὰ
because-of this more-willfully and more-high-handedly the

πολλὰ κατεπράττετο, καὶ ἐν τούτῳ οὔτε τῇ ἐκκλησίᾳ
many-things he-did and in this neither the church
ἀπαγορευούσῃ ὑπήκουσεν οὔτε τῇ ἐντολῇ καὶ διαταγῇ τοῦ
forbidding he-obeyed nor the command and ordinance of-the
μεγάλου Κωνσταντίνου κατηκολούθησεν, ἀλλ' ἐκ γνώμης
great Constantine he-followed but from (a)-mind
αὐθάδους καὶ αὐτοβούλου καὶ τῶν καλῶν ἀμαθοῦς καὶ
willful and self-willed and of-the good-things ignorant and
μὴ βουλομένης ἕπεσθαι τῷ πρέποντι καὶ καλῷ μηδὲ
not wishing to-follow the becoming and good nor
ταῖς πατροπαραδότοις στοιχεῖν διατάξεσι τοῦτο ποιῆσαι
the ancestral to-keep-to ordinances this to-do
τετόλμηκεν, ταύτην μόνην εὔλογον δηλονότι προβαλλόμενος
has-dared this alone reasonable evidently putting-forward
πρόφασιν, τοσοῦτον πλῆθος αἰχμαλώτων Χριστιανῶν διὰ
pretext so-great (a)-multitude of-captives Christian through
τῆς τοιαύτης πράξεως ἀναρρύεσθαι, καὶ τὸ Χριστιανοὺς
the such action to-ransom and the Christians
εἶναι καὶ τοὺς Βουλγάρους ὁμοπίστους ἡμῶν, ἄλλως τε
to-be also the Bulgarians of-one-faith with-us especially —
καὶ ὅτι οὐδὲ αὐτοκράτορος καὶ ἐνθέσμου βασιλέως
also because not-even of-(an)-autocrat and lawful emperor
θυγάτηρ ἡ ἐκδιδομένη ἐτύγχανεν, ἀλλὰ τρίτου καὶ
(a)-daughter the(-one) given-in-marriage happened-to-be but of-(a)-third and
ἐσχάτου καὶ ἔτι ὑποχειρίου καὶ μηδεμίαν ἐξουσίαν ἐν τοῖς
last and still subordinate and no authority in the
τῆς ἀρχῆς μετέχοντος πράγμασι· καὶ οὐδὲν διέφερεν τὸ
of-the rule sharing affairs and nothing differed the
τοιοῦτον τοῦ καὶ ἄλλην τινὰ τῶν βασιλικῶν συγγενίδων
such-thing from-the also other some of-the imperial kinswomen
τῶν πορρωτέρω τε καὶ ἐγγὺς τῆς βασιλείας εὐγενείας
of-the more-remote both and near the imperial nobility

τυγχανουσῶν, καὶ διά τινα κοινωφελῆ δουλείαν, καὶ
happening-to-be and because-of some common-good service and
τοῦ ἐσχάτου καὶ μηδὲν σχεδὸν ἐξουσιάζοντος. ἐπεὶ ἔξω
of-the last and nothing almost having-authority since outside
τοῦ κανόνος καὶ τῆς ἐκκλησιαστικῆς παραδόσεως καὶ τῆς
of-the canon and of-the ecclesiastical tradition and of-the
τοῦ μεγάλου ἁγίου βασιλέως Κωνσταντίνου διαταγῆς τε
of-the great holy emperor Constantine ordinance both
καὶ ἐντολῆς τοῦτο πεποίηκεν, πολλὰ καὶ ζῶν ὠνειδίσθη
and command this he-did many-things also living was-reproached
ὁ προρρηθεὶς κῦρις Ῥωμανὸς καὶ διεβλήθη καὶ ἐμισήθη
the aforesaid lord Romanos and was-slandered and was-hated
παρά τε τῆς συγκλήτου βουλῆς καὶ τοῦ δήμου παντὸς
by both the senatorial council and the people all
καὶ τῆς ἐκκλησίας αὐτῆς, ὡς καὶ τὸ μῖσος ἐπὶ τοῦ
and the church itself so-that also the hatred at the
τέλους γενέσθαι καταφανές, καὶ μετὰ θάνατον ὁμοίως
end to-become evident and after death likewise
ἐξουθενεῖται καὶ διαβάλλεται καὶ ὑπὸ καταγνώμην τίθεται
he-is-despised and is-slandered and under condemnation is-placed
καὶ οὗτος, ἀνάξιον πρᾶγμα καὶ ἀπρεπὲς εἰς τὴν εὐγενῆ
and this unworthy thing and unseemly into the noble
πολιτείαν Ῥωμαίων καινοτομήσας. ἕκαστον γὰρ ἔθνος
polity of-(the)-Romans having-innovated each for nation
διάφορα ἔχον ἔθη καὶ διαλλάττοντας νόμους τε καὶ
different having customs and differing laws both and
θεσμοὺς ὀφείλει τὰ οἰκεῖα κρατεῖν καὶ ἀπὸ τοῦ αὐτοῦ
ordinances ought the(-things) own to-hold and from the same
ἔθνους τὰς πρὸς ἀνάκρισιν βίου κοινωνίας ποιεῖσθαι καὶ
nation the for union of-life partnerships to-make and
ἐνεργεῖν. ὥσπερ γὰρ ἕκαστον ζῷον μετὰ τῶν ὁμογενῶν
to-effect as for each animal with the same-kind

τὰς μίξεις ἐργάζεται, οὕτω καὶ ἕκαστον ἔθνος οὐκ ἐξ
the matings performs so also each nation not from
ἀλλοφύλων καὶ ἀλλογλώσσων ἀλλ᾽ ἐκ τῶν ὁμογενῶν
other-tribes and other-tongues but from the same-kind
τε καὶ ὁμοφώνων τὰ συνοικέσια τῶν γάμων ποιεῖσθαι
both and same-speaking the cohabitations of-the marriages to-make
καθέστηκε δίκαιον. ἐντεῦθεν γὰρ καὶ ἡ πρὸς ἀλλήλους
has-become just from-this for both the toward each-other
ὁμοφροσύνη καὶ συνομιλία καὶ προσφιλὴς συνδιατριβὴ καὶ
concord and converse and friendly association and
συμβίωσις περιγίνεσθαι πέφυκε· τὰ δὲ ἀλλότρια ἔθη καὶ
living-together to-arise is-wont the and alien customs and
διαλλάττοντα νόμιμα ἀπεχθείας μᾶλλον καὶ προσκρούσεις
differing usages enmities rather and offenses
καὶ μίση καὶ στάσεις εἴωθεν ἀπογεννᾶν, ἅπερ οὐ
and hatreds and seditions are-accustomed to-beget which not
φιλίας καὶ κοινωνίας ἀλλ᾽ ἔχθρας καὶ διαστάσεις φιλεῖ
friendships and fellowships but enmities and divisions are-wont
ἀπεργάζεσθαι. καὶ ὅτι μὴ δεῖ τὰ κακῶς παρά
to-produce and that not (one)-must the(-things) badly by
τινων ἐξ ἀμαθείας ἢ αὐθαδείας καταπραχθέντα τοὺς
some from ignorance or willfulness done those
ἐννόμως ἄρχειν βουλομένους μιμεῖσθαί τε καὶ ζηλοῦν,
lawfully to-rule wishing to-imitate both and to-emulate
ἀλλὰ τῶν ἐννόμως καὶ δικαίως βεβασιλευκότων τὰς
but of-those lawfully and justly having-reigned the
ἀοιδίμους πράξεις ἔχειν ὡς εἰκόνας ἀγαθὰς εἰς παράδειγμα
famous deeds to-have as images good for (an)-example
προκειμένας μιμήσεως, καὶ κατ᾽ ἐκείνας πειρᾶσθαι καὶ
set-before of-imitation and according-to those to-try also
αὐτὸν ἀπευθύνειν πάντα τὰ παρ᾽ αὐτοῦ ἐνεργούμενα,
himself to-direct all the(-things) by him being-done

ἐπεὶ καὶ τὸ διὰ τὰς τοιαύτας αὐτοβούλους πράξεις αὐτοῦ
since also the because-of the such self-willed deeds his
ἐπελθὸν αὐτῷ τέλος, φημὶ δὲ τῷ κυρῷ Ῥωμανῷ,
having-come-upon him end I-mean and to-the lord Romanos
ἱκανόν ἐστι πρὸς σωφρονισμὸν παράδειγμα τῷ
sufficient is for correction (an)-example to-the(-one)
βουλομένῳ τὰ κακῶς παρ᾽ ἐκείνου πραχθέντα ζηλοῦν.
wishing the(-things) badly by that-man done to-emulate
Χρεὼν δὲ μετὰ τῶν ἄλλων καὶ ταῦτά σε γινώσκειν,
(it)-is-needful and with the other-things also these(-things) you to-know
υἱὲ πολυέραστε, ἅτε τῆς τούτων γνώσεως μεγάλως σοι
son much-loved since the of-these knowledge greatly to-you
συμβαλέσθαι δυναμένης καὶ θαυμαστότερον ἀποδεῖξαι.
to-contribute being-able and more-admirable to-show(-you)
τὰ δέ ἐστι περὶ διαφορᾶς πάλιν ἑτέρων ἐθνῶν,
the(-things) and are concerning (the)-difference again of-other nations
γενεαλογίας τε αὐτῶν καὶ ἐθῶν καὶ βίου διαγωγῆς, καὶ
genealogy both their and customs and of-life conduct and
θέσεως καὶ κράσεως τῆς παρ᾽ αὐτῶν κατοικουμένης γῆς,
position and climate of-the by them inhabited land
καὶ περιηγήσεως αὐτῆς καὶ σταδιασμοῦ, καθὼς ἑξῆς
and description its and measurement as in-order
πλατύτερον διερμηνεύσεται.
more-broadly will-be-set-out

XIV · THE GENEALOGY OF MUHAMMAD

Muhammad descends from Ishmael. Poor and orphaned, he served the rich widow Khadija as a camel-driver and married her. He learned from Jews and Christians, and when his epilepsy grieved her he claimed to see the angel Gabriel; an Arian monk vouched for him. She proclaimed him a prophet, the deceit reached Abu Bakr, and she died leaving him rich. His heresy held Yathrib; he taught that whoever kills an enemy or is killed enters paradise, and his followers pray to Aphrodite's star, Koubar.

περὶ τῆς γενεαλογίας τοῦ Μουχούμετ.
concerning the genealogy — of-Muhammad

Γενεαλογῆται ὁ δυσσεβὴς καὶ ἀκάθαρτος Μουχούμετ, ὃν
is-traced the impious and unclean Muhammad whom
λέγουσιν οἱ Σαρακηνοὶ προφήτην αὐτῶν εἶναι, ἐκ φυλῆς
say the Saracens prophet their to-be from (a)-tribe
γενικωτάτης Ἰσμαὴλ υἱοῦ Ἀβραὰμ καταγόμενον. Ζηναρὸς
most-general of-Ishmael son of-Abraham descended Zenaros
γὰρ ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος πατὴρ αὐτῶν ἀναγορεύεται
for the — of-Ishmael descendant father their is-proclaimed
πάντων. οὗτος οὖν γεννᾷ υἱοὺς δύο, Μούνδαρον καὶ Ῥαβείαν.
of-all this-man then begets sons two Moundaros and Rabeias
ὁ δὲ Μούνδαρος τίκτει Κούσαρον καὶ Κάϊσον καὶ Θυμίμην
— and Moundaros begets Kousaros and Kaïsos and Thymimes
καὶ Ἄσανδον καὶ ἄλλους τινὰς ἀνωνύμους, οἳ καὶ τὴν
and Asandos and others some unnamed who also the
Μαδιανῖτιν ἔρημον κληρωσάμενοι ἐκτηνοτρόφουν, ἐν σκηναῖς
Midianite desert having-been-allotted kept-flocks in tents
κατοικοῦντες. εἰσὶ δὲ καὶ ἐνδότεροι τούτων, οὐκ ἐκ τῆς
dwelling there-are and also further-inland of-these not from the
φυλῆς αὐτῶν ἀλλὰ τοῦ Ἰεκτᾶν, οἱ λεγόμενοι Ὁμηρεῖται,
tribe their but — of-Joktan those called Homerites

τουτέστιν Ἀμανῖται. ἀναδείκνυται δὲ οὕτως. ἀπόρου
that-is Amanites he-is-shown-forth and thus without-means
ὄντος αὐτοῦ τοῦ Μουχούμετ καὶ ὀρφανοῦ, ἔδοξεν αὐτῷ
being him — Muhammad and (an)-orphan it-seemed to-him
μισθοδοτήσεσθαι γυναικί τινι πλουσίᾳ καὶ συγγενεῖ αὐτοῦ,
to-hire-himself to-(a)-woman certain rich and kinswoman his
καλουμένῃ Χαδίγα, πρὸς τὸ καμηλεύειν καὶ πραγματεύεσθαι
called Khadija for the to-drive-camels and to-trade
ἐν Αἰγύπτῳ μετὰ τῶν ἀλλοφύλων καὶ ἐν Παλαιστίνῃ.
in Egypt among the foreigners and in Palestine
εἶτα κατὰ μικρὸν παρρησιασάμενος καὶ ὑπελθὼν τῇ
then by little becoming-bold and having-crept-in to-the
γυναικὶ χήρᾳ οὔσῃ λαμβάνει αὐτὴν εἰς γυναῖκα. καὶ
woman (a)-widow being he-takes her for wife and
δὴ ἐπιχωριάζων ἐν Παλαιστίνῃ, καὶ συναναστρεφόμενος
indeed staying in Palestine and associating
Ἰουδαίοις τε καὶ Χριστιανοῖς, ἐθηρᾶτο λόγους καὶ
with-Jews both and with-Christians he-hunted-after sayings and
γραφικὰς λύσεις τινάς. ἔχων δὲ τὸ πάθος τῆς ἐπιληψίας,
scriptural solutions some having and the affliction of-the epilepsy
ἐλυπεῖτο σφόδρα ἡ γυνὴ αὐτοῦ ὡς περιφανὴς καὶ πλουσία
was-grieved greatly the wife his as (a)-distinguished and rich(-woman)
καὶ τῷ τοιούτῳ ἀνδρὶ συναφθεῖσα, οὐ μόνον ἀπόρῳ
also to-the such man joined not only without-means
ἀλλὰ καὶ ἐπιληπτικῷ· ἦν καὶ τροπωσάμενος φάσκων
but also epileptic whom also having-won-over saying
ὅτι φοβερὰν ὀπτασίαν ἀγγέλου θεωρῶ Γαβριὴλ ὀνόματι,
that (a)-fearful vision of-(an)-angel I-behold Gabriel by-name
καὶ μὴ ὑποφέρων αὐτοῦ τὴν θέαν ὀλιγωρῶ καὶ πίπτω,
and not enduring his the sight I-grow-faint and I-fall
ἐπιστεύθη, συμψευδομαρτυροῦντος αὐτῷ Ἀρειανοῦ τινὸς
he-was-believed bearing-false-witness-with him (an)-Arian certain

μοναχοῦ ψευδωνύμου δι᾽ αἰσχροκέρδειαν. καὶ οὕτως ἡ γυνὴ
monk falsely-named for base-gain and thus the woman
πλανηθεῖσα καὶ ἄλλαις γυναιξὶν ὁμοφύλοις κηρύξασα
having-been-deceived and to-other women of-the-same-tribe having-proclaimed
προφήτην αὐτὸν εἶναι, προῆλθε τὸ ψεῦδος τῆς ἀπάτης καὶ
prophet him to-be advanced the lie of-the deceit also
εἰς ἄνδρα φύλαρχον τοὔνομα Βουβάχαρ. ἡ οὖν γυνὴ θανοῦσα
to (a)-man (a)-tribal-chief by-name Abu-Bakr the then woman having-died
καὶ τοῦτον διάδοχον καὶ κληρονόμον καταλείψασα τῶν
and this-man successor and heir having-left of-the(-things)
ἑαυτῆς, ἐγένετο περιφανὴς καὶ ἄγαν ὑπερούσιος, καὶ κατέσχεν
her-own became distinguished and very wealthy and possessed
ἡ πονηρὰ πλάνη τε καὶ αἵρεσις αὐτοῦ τὰ μέρη τῆς Αἰθρίβου,
the wicked error both and heresy his the parts — of-Yathrib
καὶ ἐδίδαξεν οὗτος ὁ παράφρων καὶ πεφενακισμένος τοὺς
and taught this the madman and deluded those
αὐτῷ πειθομένους ὅτι ὁ φονεύων ἐχθρὸν ἢ ὑπὸ ἐχθροῦ
him obeying that the(-one) killing (an)-enemy or by (an)-enemy
φονευόμενος εἰς τὸν παράδεισον εἰσέρχεται, καὶ ἄλλα
being-killed into the paradise enters and other(-things)
ὅσα φλυαρεῖ. προσεύχονται δὲ καὶ εἰς τὸ τῆς Ἀφροδίτης
as-many-as he-babbles they-pray and also to the — of-Aphrodite
ἄστρον, ὃ καλοῦσι Κουβάρ, καὶ ἀναφωνοῦσιν ἐν τῇ
star which they-call Koubar and cry-out in the
προσευχῇ αὐτῶν οὕτως "ἀλλᾶ οὐὰ κουβάρ," ὅ ἐστιν ὁ
prayer their thus alla oua koubar which is —
θεὸς καὶ Ἀφροδίτη. τὸν γὰρ θεὸν ἀλλᾶ προσονομάζουσι, τὸ
God and Aphrodite — for God alla they-name the
δὲ οὐά ἀντὶ τοῦ καί συνδέσμου τιθέασι, καὶ τὸ κουβάρ
and oua instead-of the kai conjunction they-put and the koubar
καλοῦσι τὸ ἄστρον, καὶ λέγουσιν οὕτως "ἀλλᾶ οὐὰ κουβάρ."
they-call the star and say thus alla oua koubar

XV · THE FATIMIDS

The Fatimids descend from Muhammad's daughter Fatima and live north of Mecca. With them Muhammad subdued many cities; a thousand make an army unbeatable. They ride camels and fight unarmored, in rose-colored cloaks, with long spears and huge bows.

περὶ τοῦ γένους τῶν Φατεμιτῶν.
concerning the race of-the Fatimids
Ἰστέον ὅτι ἡ Φατὲμ θυγάτηρ ἦν τοῦ Μουχούμετ καὶ
(one)-must-know that — Fatima daughter was — of-Muhammad and
ἀπ᾽ ἐκείνης γεννῶνται οἱ Φατεμῖται. οὐκ εἰσὶ δὲ οὗτοι
from her are-born the Fatimids not are and these
ἐκ τοῦ Φατέμη ἀπὸ τῆς Λιβύης χώρας, ἀλλὰ κατοικοῦσι
from — Fatima from the of-Libya land but they-dwell
πρὸς τὰ βορειότερα μέρη τοῦ Μέκε βαθύτερα τάφου
toward the more-northern parts — of-Mecca further-inland of-(the)-tomb
τοῦ Μουχούμετ. εἰσὶ δὲ ἔθνος Ἀραβικὸν πρὸς πολέμους
— of-Muhammad they-are and (a)-nation Arabian for wars
καὶ μάχας ἀκριβῶς ἐξησκημένον· μετὰ γὰρ τοῦ τοιούτου
and battles thoroughly trained with for the such
γένους ἐπολέμησεν ὁ Μουχούμετ, καὶ πολλὰς πόλεις καὶ
race warred — Muhammad and many cities and
χώρας ἐπόρθησεν καὶ καθυπέταξεν. εἰσὶ γὰρ ἠνδρειωμένοι
lands sacked and subjected they-are for brave
καὶ πολεμισταί, ὅτι εἰ εὑρεθῶσι μέχρι μιᾶς χιλιάδος εἰς
and warlike so-that if they-be-found up-to one thousand in
φοσάτον, τὸ τοιοῦτον φοσάτον ἀήττητον καὶ ἀκαταμάχητον
(an)-army the such army unbeaten and unconquerable
γίνεται. οὐ καβαλλικεύουσι δὲ ἵππους ἀλλὰ καμήλους. ἐν
becomes not they-ride and horses but camels in

δὲ τῷ καιρῷ τοῦ πολέμου οὐκ ἐνδύονται θώρακας οὔτε
and the time of-the war not they-put-on breastplates nor
κλιβάνια ἀλλὰ περιβόλαια ῥοδωτά, καὶ ἔχουσι δόρατα
corselets but cloaks rose-colored and they-have spears
μακρὰ καὶ ἀσπίδας ἀνδρομήκεις καὶ τόξα ξύλινα παμμεγέθη,
long and shields man-high and bows wooden huge
σχεδὸν μὴ δυνάμενα τείνεσθαι παρ᾽ ὀλίγων ἀνδρῶν.
almost not able to-be-drawn by few men

XVI · THE SARACENS' GOING FORTH

From Stephen the mathematician's canon: the Saracens went forth in the twelfth year of Heraclius, in the year of the world 6130, and Muhammad ruled them for nine years.

ἐκ τοῦ κανόνος ὃν ἐθεμάτισεν Στέφανος ὁ μαθηματικὸς
from the canon which drew-up Stephen the mathematician
περὶ τῆς τῶν Σαρακηνῶν ἐξόδου, ἐν ποίῳ χρόνῳ
concerning the of-the Saracens going-forth in what time
τῆς τοῦ κόσμου συστάσεως ἐγένετο, καὶ τίς ἦν τότε ὁ
of-the of-the world founding it-happened and who was then the
βασιλεὺς Ῥωμαίων.
emperor of-(the)-Romans
Ἐξῆλθον οἱ Σαρακηνοὶ μηνὶ Σεπτεμβρίῳ τρίτῃ,
went-forth the Saracens in-(the)-month September (the)-third
ἰνδικτιῶνος δεκάτης, εἰς τὸ δωδέκατον ἔτος Ἡρακλείου.
of-(the)-indiction tenth in the twelfth year of-Heraclius
ἔτος ἀπὸ κτίσεως κόσμου ͵ϛρλ΄. τὸ δὲ θεμάτιν
(the)-year from (the)-creation of-(the)-world 6130 the and establishment
τῶν αὐτῶν Σαρακηνῶν ἐγένετο εἰς μῆνα Σεπτέμβριον
of-the same Saracens happened in (the)-month September

τρίτην, ἡμέρᾳ πέμπτῃ. εἰς τοὺς αὐτοὺς χρόνους πρῶτος
(the)-third on-day fifth in the same times (the)-first
ἀρχηγὸς τῶν Ἀράβων Μουάμεθ, ὃν οἱ Ἄραβες καλοῦσι
chief of-the Arabs Muhammad whom the Arabs call
Μουχούμετ, ὁ καὶ προφήτης αὐτῶν χρηματίσας,
Muhammad the(-one) also prophet their having-been-styled
ἐκράτησε τῆς ἀρχῆς τῶν Ἀράβων ἔτη ἐννέα.
held the rule of-the Arabs years nine

XVII · FROM THEOPHANES: MUHAMMAD

Muhammad died in 6139, leaving his kinsman Abu Bakr to succeed him. Some Hebrews took him for the Messiah until they saw him eat camel, yet taught him circumcision. His heresy held Yathrib ten years secretly, ten by war, and nine openly. He taught that the slayer or the slain enters a paradise of food, drink, and women, with a river of wine, honey, and milk.

ἐκ τοῦ χρονικοῦ τοῦ μακαρίου Θεοφάνους.
from the chronicle of-the blessed Theophanes
Τούτῳ τῷ ἔτει, ἤγουν ,ϛρλθ′, ἀπεβίω Μουάμεθ ὁ τῶν
in-this the year that-is 6139 died Muhammad the of-the
Σαρακηνῶν ἀρχηγὸς καὶ ψευδοπροφήτης, προχειρισάμενος
Saracens chief and false-prophet having-appointed
ἀντ᾽ αὐτοῦ Ἀβουβάχαρον τὸν καὶ Βουτάκτωρα,
in-place-of him Abu-Bakr the(-one) also Boutaktor
συγγενῆ αὐτοῦ. οἱ δὲ πεπλανημένοι Ἑβραῖοι ἐν ἀρχῇ
kinsman his the and deceived Hebrews at (the)-beginning
τῆς παρουσίας αὐτοῦ ἐνόμισαν εἶναι τοῦτον τὸν παρ᾽ αὐτοῖς
of-the coming his supposed to-be this-man the by them
προσδοκώμενον Χριστόν, ὡς καί τινας τῶν προυχόντων
expected Christ so-that also some of-the leading-men

αὐτῶν προσελθεῖν αὐτῷ καὶ δέξασθαι τὴν αὐτοῦ θρησκείαν
their to-come-to him and to-receive the his religion
καὶ καταλιπεῖν τὴν τοῦ θεόπτου Μωσέως. θεωρήσαντες
and to-abandon the(-religion) of-the God-seeing Moses having-seen
δὲ αὐτὸν ἀπὸ καμήλου ἐσθίοντα ἔγνωσαν ὅτι οὐκ ἔστιν
but him from (a)-camel eating they-knew that not he-is
ὃν ἐνόμισαν. ἐδίδασκον δὲ αὐτὸν ἀθέμιτα κατὰ
(the-one)-whom they-supposed they-taught and him unlawful-things against
τῶν Χριστιανῶν, καὶ διῆγον σὺν αὐτῷ. οὗτοί εἰσιν οἱ
the Christians and lived with him these are those
διδάσκοντες αὐτὸν παραδέχεσθαι μέρη τινὰ τοῦ νόμου, τήν
teaching him to-accept parts some of-the law the
τε περιτομὴν καὶ ἄλλα τινά, ἅπερ παραφυλάττονται οἱ
both circumcision and other(-things) some which observe the
Σαρακηνοί. πρῶτος οὖν Ἀβουβάχαρ ἠκολούθησεν αὐτὸν καὶ
Saracens first then Abu-Bakr followed him and
προφήτην ἐκήρυξεν, διὸ καὶ διάδοχον αὐτὸν κατέλιπεν.
(a)-prophet proclaimed(-him) therefore also successor him he-left
ἐκράτησεν δὲ ἡ αἵρεσις αὐτοῦ τὰ μέρη τῆς Αἰθρίβου,
held and the heresy his the parts — of-Yathrib
πρώην μὲν ἐν κρυπτῷ ἔτη δέκα, τὸ δὲ ἔσχατον διὰ
formerly indeed in secret years ten the and last through
πολέμου ὁμοίως ἔτη δέκα, καὶ φανερῶς ἔτη ἐννέα. ἐδίδαξε
war likewise years ten and openly years nine he-taught
δὲ τοὺς ἑαυτοῦ ὑπηκόους ὅτι ὁ ἀποκτείνας ἐχθρὸν ἢ
and the of-himself subjects that the(-one) having-killed (an)-enemy or
ὑπὸ ἐχθροῦ ἀποκτεινόμενος ἀκωλύτως εἰς τὸν παράδεισον
by (an)-enemy being-killed unhindered into the paradise
εἰσέρχεται. τὸν δὲ παράδεισον σαρκικῆς βρώσεως καὶ
enters the and paradise of-fleshly eating and
πόσεως καὶ μίξεως γυναικῶν ἔλεγεν, ποταμὸν δὲ οἴνου
drinking and intercourse with-women he-said (a)-river and of-wine

καὶ μέλιτος καὶ γάλακτος καταρρεῖν, καὶ γυναικῶν τὴν
and of-boney and of-milk to-flow-down and of-women the
ὅρασιν ἀσύγκριτον, οὐ τῶν παρόντων ἀλλ᾽ ἄλλων. καὶ
sight incomparable not of-those present but of-others and
τὴν μῖξιν πολυχρόνιον ἔφασκεν καὶ διαρκῆ τὴν ἡδονήν,
the intercourse long-lasting he-declared and enduring the pleasure
καὶ ἄλλα τινὰ ἀσωτίας καὶ μωρίας ἔμπλεα. συμπαθεῖν
and other-things some of-profligacy and of-folly full to-sympathize
τε ἀλλήλοις καὶ βοηθεῖν ἀδικουμένοις.
both with-each-other and to-help those-wronged

XVIII · ABU BAKR

Abu Bakr took Gaza and ruled for three years, and Umar succeeded him.

δεύτερος ἀρχηγὸς τῶν Ἀράβων Ἀβουβάχαρ ἔτη γ΄.
second chief of-the Arabs Abu-Bakr years 3
Οὗτος ὁ Ἀβουβάχαρ πρῶτος λαμβάνει τὴν πόλιν Γάζαν
this — Abu-Bakr first takes the city Gaza
καὶ πᾶσαν αὐτῆς τὴν περίχωρον. τελευτᾷ δὲ ὁ αὐτὸς
and all its the surrounding-country dies and the same
Ἀβουβάχαρ ἀμηρεύσας ἔτη τρία, καὶ παραλαμβάνει τὴν
Abu-Bakr having-been-emir years three and takes-over the
ἀρχὴν Οὔμαρ, καὶ κρατεῖ τῶν Ἀράβων ἔτη δώδεκα.
rule Umar and holds-power over-the Arabs years twelve

Umar besieged Jerusalem for two years and took it by guile, promising Sophronios to spare the churches. Seeing him, Sophronios called him the abomination of desolation. Umar sought out Solomon's temple as a place of prayer for his blasphemy.

τρίτος ἀρχηγὸς Ἀράβων Οὔμαρ.
third chief of-Arabs Umar
Ὁ αὐτὸς οὖν Οὔμαρ ἀπεστράτευσε κατὰ τῆς Παλαιστίνης,
the same then Umar marched against — Palestine
καὶ παρακαθίσας ἐν αὐτῇ ἐπολιόρκησε τὴν Ἱερουσαλὴμ
and having-sat-down in it besieged — Jerusalem
διετῆ χρόνον, καὶ παρέλαβεν αὐτὴν δόλῳ. Σωφρόνιος
(a)-two-year time and took it by-guile Sophronios
γὰρ ὁ Ἱεροσολύμων ἐπίσκοπος θείῳ κινούμενος ζήλῳ
for the of-Jerusalem bishop by-divine moved zeal
καὶ ἀγχινοίᾳ διαπρέπων λόγον ἔλαβε παρ᾽ αὐτοῦ ὑπὲρ
and in-shrewdness excelling (a)-word received from him for
τῶν ἐκκλησιῶν τῆς πάσης Παλαιστίνης ἀσφαλέστατον,
the churches of-the whole Palestine most-secure
ὥστε ἀκαθαιρέτους μεῖναι τὰς ἐκκλησίας καὶ ἀπορθήτους.
so-that undestroyed to-remain the churches and unsacked
τοῦτον ἰδὼν ὁ Σωφρόνιος ἔφη "ἐπ᾽ ἀληθείας τοῦτό ἐστι
him having-seen — Sophronios said in truth this is
τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ
the abomination of-the desolation the(-one) spoken through Daniel
τοῦ προφήτου, ἑστὸς ἐν τόπῳ ἁγίῳ." οὗτος τὸν ναὸν
the prophet standing in (a)-place holy this-man the temple
ἐζήτησε τῶν Ἰουδαίων, ὃν ᾠκοδόμησε Σολομών, πρὸς

τὸ ποιῆσαι αὐτὸν προσκυνητήριον τῆς αὐτοῦ βλασφημίας.
the to-make it (a)-place-of-worship of-the his blasphemy
καὶ ἔστιν ἕως τῆς σήμερον.
and it-is until the today

XX · UTHMAN

Uthman took Africa by war and returned after agreeing a tribute with the Africans. His general Muawiya loosed the Colossus of Rhodes and sacked Cyprus, took the island of Arados, burned its city, and left it uninhabited; he pulled down the Colossus, and a Jewish merchant of Edessa bought its bronze and loaded it on nine hundred camels. Muawiya also marched against Constantinople and ravaged Ephesus, Halicarnassus, Smyrna, and the other cities of Ionia, and after Uthman's death he was chief of the Arabs, the fifth, for twenty-four years.

τέταρτος ἀρχηγὸς Ἀράβων Οὐθμάν.
fourth chief of-Arabs Uthman
Οὗτος λαμβάνει τὴν Ἀφρικὴν πολέμῳ, καὶ στοιχήσας φόρους
this-man takes — Africa by-war and having-agreed tributes
μετὰ τῶν Ἄφρων ὑπέστρεψεν. τούτου στρατηγὸς χρηματίζει
with the Africans returned his general is-styled
Μαβίας ὁ παραλύσας τὸν κολοσσὸν Ῥόδου καὶ
Muawiya the(-one) having-loosed the colossus of-Rhodes and
πορθήσας Κύπρον τὴν νῆσον καὶ πάσας τὰς πόλεις αὐτῆς.
having-sacked Cyprus the island and all the cities its
οὗτος παραλαμβάνει καὶ νῆσον τὴν Ἄραδον, καὶ τὴν πόλιν
this-man takes also (the)-island — Arados and the city
αὐτῆς ἐνέπρησεν, καὶ τὴν νῆσον ἀοίκητον κατέστησεν ἕως
its burned and the island uninhabited made until
τοῦ νῦν. οὗτος τὴν νῆσον Ῥόδον καταλαβὼν καθεῖλε τὸν
the now this-man the island Rhodes having-seized pulled-down the

αὐτῆς κολοσσὸν μετὰ χίλια τξ΄ ἔτη τῆς αὐτοῦ ἱδρύσεως, ὃν
its colossus after thousand 360 years of-the its erection which
Ἰουδαῖός τις ἔμπορος ὠνησάμενος Ἐδεσηνὸς ἐννακοσίας
(a)-Jew certain merchant having-bought of-Edessa nine-hundred
καμήλους ἐφόρτωσεν αὐτοῦ τὸν χαλκόν. οὗτος ὁ Μαβίας
camels loaded(-with) its the bronze this — Muawiya
ἐπεστράτευσε καὶ κατὰ Κωνσταντινουπόλεως, καὶ ἐλυμήνατο
marched also against Constantinople and ravaged
τήν τε Ἔφεσον καὶ Ἁλικαρνασσὸν καὶ Σμύρναν καὶ τὰς
— both Ephesus and Halicarnassus and Smyrna and the
λοιπὰς πόλεις Ἰωνίας· ὃς καὶ γέγονεν τῶν Ἀράβων ἀρχηγὸς
other cities of-Ionia who also became of-the Arabs chief
πέμπτος μετὰ τὴν Οὐθμὰν τελευτὴν ἔτη εἴκοσι τέσσαρα.
fifth after the of-Uthman death years twenty four

XXI · FROM THEOPHANES: MUAWIYA AND HIS LINE

The Mardaites seized the Lebanon, and Muawiya sought peace, paying tribute to Constantine. The Arab rule split between Ali and Muawiya, and Muawiya won. After his line was destroyed by the Black-wearers, a descendant fled to Spain. Yazid, Marwan, and Abd al-Malik followed Muawiya, and Justinian succeeded Constantine. Constantine tells how Muawiya rose from admiral to ruler, besieged Constantinople for seven years in vain and pulled down the Colossus of Rhodes, and how two arbiters settled the quarrel with Ali by a trick with their rings. Maslama and Suleiman later attacked Constantinople and were driven off by God's providence, and even Suleiman revered the icon of the Mother of God.

ἐκ τοῦ χρονικοῦ Θεοφάνους· ἔτος ἀπὸ κτίσεως κόσμου
from the chronicle of-Theophanes (the)-year from (the)-creation of-(the)-world
,ϛροα΄.
6171

Ἰστέον ὅτι πρὸς τῇ τελευτῇ Μαβίου τῶν Ἀράβων
(one)-must-know that toward the end of-Muawiya of-the Arabs
πέμπτου ἀρχηγοῦ εἰσῆλθον οἱ Μαρδαΐται εἰς τὸν Λίβανον,
fifth chief entered the Mardaites into the Lebanon
καὶ ἐκράτησαν ἀπὸ τοῦ Μαύρου ὄρους ἕως τῆς ἁγίας
and held(-it) from the Black Mountain as-far-as the holy
πόλεως, καὶ ἐχειρώσαντο τὰς τοῦ Λιβάνου περιωπάς· καὶ
city and subdued the of-the Lebanon heights and
πολλοὶ δοῦλοι καὶ αὐτόχθονες πρὸς αὐτοὺς κατέφυγον,
many slaves and natives to them fled
ὥστε δι' ὀλίγου χρόνου εἰς πολλὰς χιλιάδας γενέσθαι.
so-that in (a)-short time to many thousands to-come
καὶ τοῦτο μαθὼν Μαβίας καὶ οἱ σύμβουλοι αὐτοῦ
and this having-learned Muawiya and the counselors his
ἐφοβήθησαν σφόδρα. καὶ ἀποστέλλει πρέσβεις πρὸς τὸν
feared greatly and sends envoys to the
αὐτοκράτορα Κωνσταντῖνον ζητῶν εἰρήνην. ἐπὶ ταύτῃ τῇ
autocrat Constantine seeking peace on this the
προφάσει πέμπεται παρὰ τοῦ βασιλέως Κωνσταντίνου
pretext is-sent by the emperor Constantine
τοῦ ὀρθοδόξου, τοῦ Πωγωνάτου, Ἰωάννης ὁ ἐπίκλην
the orthodox the Pogonatos John the(-one) surnamed
Πιτζηκαύδης. τούτου δὲ καταλαβόντος ἐν Συρίᾳ, Μαβίας
Pitzikaudes him and having-arrived in Syria Muawiya
ἐδέξατο αὐτὸν μετὰ μεγάλης τιμῆς, καὶ συνεφωνήθη πρὸς
received him with great honor and it-was-agreed by
ἀμφοτέρους ἔγγραφον γενέσθαι εἰρήνης μεθ' ὅρκου λόγον
both written to-be-made of-peace with oath (a)-statement
ἐπὶ συμφώνου ἐτησίου πάκτου, παρέχεσθαι τῷ τῶν
on (an)-agreed annual tribute to-be-furnished to-the of-the
Ῥωμαίων βασιλεῖ παρὰ τῶν Ἀγαρηνῶν χρυσίου χιλιάδας
Romans emperor by the Hagarenes of-gold thousands

τρεῖς καὶ ἄνδρας αἰχμαλώτους ω΄ καὶ ἵππους εὐγενεῖς ν΄.
three and men captives 800 and horses noble 50
ἐπὶ τούτου διῃρέθη ἡ τῶν Ἀράβων ἀρχὴ εἰς μέρη δύο,
upon this was-divided the of-the Arabs rule into parts two
καὶ εἰς μὲν τὴν Ἀΐθριβον ἐκράτησε τὴν ἀρχὴν ὁ Ἀλή,
and in indeed — Yathrib held the rule — Ali
τὴν δὲ Αἴγυπτον καὶ Παλαιστίνην καὶ Δαμασκὸν ἐκράτει
— and Egypt and Palestine and Damascus held
ὁ Μαβίας. καὶ οἱ μὲν τὴν Ἀΐθριβον οἰκοῦντες μετὰ
— Muawiya and those indeed — Yathrib inhabiting with
τῶν υἱῶν τοῦ Ἀλὴ ἐστράτευσαν κατὰ τοῦ Μαβίου, ὁ δὲ
the sons — of-Ali marched against — Muawiya — and
Μαβίας ἀνθωπλίσατο κατ᾽ αὐτῶν καὶ συνῆψεν πόλεμον
Muawiya armed-himself-in-turn against them and joined war
παρὰ τὸν ποταμὸν Εὐφράτην, καὶ ἡττήθη τὸ μέρος Ἀλή,
beside the river Euphrates and was-defeated the party of-Ali
καὶ παρέλαβεν ὁ Μαβίας τὴν Ἀΐθριβον καὶ πᾶσαν τὴν
εἰς ὑμᾶς μεταμεμέλημαι, ὅτι ἔσωσα ὑμᾶς ἀπὸ τῶν ἐχθρῶν
for you I-repent that I-saved you from the enemies
ὑμῶν, καὶ ἀνταπεδώκατέ μοι πονηρὰ ἀντὶ ἀγαθῶν·
your and you-repaid me evil-things in-return-for good-things
καὶ καθὼς ἐδιώχθην παρ᾽ ὑμῶν, ἀρτίως χαίρω ἐπὶ τῇ
and as I-was-driven-out by you now I-rejoice at the
ἀπωλείᾳ ὑμῶν. τότε ἀπορήσαντες ἀπὸ τοῦ ῥηγὸς Λοδοΐχου
destruction your then being-at-a-loss from the king Louis
ἀπέστειλαν πρέσβεις πρὸς τὸν βασιλέα Ῥωμαίων τοῦ
they-sent envoys to the emperor of-(the)-Romans of-the
δοῦναι αὐτοῖς βοήθειαν καὶ λυτρώσασθαι τοῦ τοιούτου
to-give to-them help and to-ransom(-them) from-the such
κινδύνου· ὁ δὲ βασιλεὺς ὑπέσχετο βοηθῆσαι αὐτοῖς. τοῦ δὲ
danger the and emperor promised to-help them the and
ἀποκρισιαρίου ἀπὸ τῆς πόλεως ὑποστρέψαντος καὶ ἀγαθὰς
envoy from the city having-returned and good
ἀγγελίας τοῖς πέμψασιν αὐτὸν ἀποκομίζοντος περὶ τῆς
tidings to-those having-sent him bringing-back about the
τοῦ βασιλέως συμμαχίας, μήπω τούτου ἀποσωθέντος ἐν
of-the emperor alliance not-yet him having-come-safe into

τῷ κάστρῳ, ἐκρατήθη παρὰ τῶν βιγλῶν τοῦ Σολδανοῦ·
the fortress was-seized by the watches — of-Soldanos
προεγνώκει γὰρ ὁ Σολδανὸς τὴν γεγονυῖαν ἀποστολὴν
had-foreknown for — Soldanos the having-happened mission
πρὸς ἱκεσίαν τοῦ βασιλέως Ῥωμαίων, καὶ ἐπύκτευσε
for supplication of-the emperor of-(the)-Romans and he-strove
τοῦ τὸν ἀποκρισιάριον αὐτῶν κρατῆσαι, ὅπερ καὶ γέγονε.
of-the the envoy their to-seize which also happened
κρατηθέντος δὲ αὐτοῦ ἔμαθε τὴν ἀποτελεσθεῖσαν παρ᾽
having-been-seized and him he-learned the accomplished by
αὐτοῦ δουλείαν, καὶ ὅτι δι᾽ ὀλίγων ἡμερῶν καταλαμβάνει
him service and that within few days arrives
ἡ τοῦ βασιλέως Ῥωμαίων βοήθεια. ὁ δὲ Σολδανὸς
the of-the emperor of-(the)-Romans help — and Soldanos
εἶπε τῷ αὐτῷ ἀποκρισιαρίῳ ὅτι εἰ ποιήσεις ὅπερ σοι
said to-the same envoy that if you-do what to-you
εἴπω, ἐλευθερίας καὶ δωρεῶν μεγίστων ἀξιωθήσῃ·
I-say of-freedom and of-gifts very-great you-will-be-deemed-worthy
εἰ δὲ μή, πονηρῷ θανάτῳ τὴν ζωὴν ἀπολέσεις. τοῦ δὲ
if and not by-(an)-evil death the life you-will-lose him and
ὑποσχομένου ἐκπληρῶσαι τὰ κελευόμενα αὐτῷ, εἶπεν
having-promised to-fulfill the(-things) commanded him said
ὁ Σολδανὸς πρὸς αὐτὸν ὅτι κελεύω στῆναί σε πλησίον
— Soldanos to him that I-order to-stand you near
τοῦ τείχους, καὶ προσκαλέσασθαι τοὺς ἀποστείλαντάς σε,
the wall and to-call-forth those having-sent you
καὶ εἰπεῖν πρὸς αὐτοὺς "ἐγὼ μὲν τὴν δουλείαν ἣν
and to-say to them I indeed the service which
ὤφειλον ποιῆσαι πεποίηκα, καὶ τὸν βασιλέα Ῥωμαίων
I-ought to-do have-done and the emperor of-(the)-Romans
περὶ ὑμῶν ἐδυσώπησα· πλὴν οὖν γινώσκετε ὅτι εἰς κενὸν
concerning you I-entreated however then know that in vain

ἐγένετο ἡ ὁδός μου, καὶ ὁ βασιλεὺς παμφαῦλον ἔθηκε
was the journey my and the emperor as-worthless set
τὴν παρ᾽ ὑμῶν γεγονυῖαν ἱκεσίαν, καὶ ἀπὸ τοῦ βασιλέως
the by you having-been-made supplication and from the emperor
μὴ ἐλπίζετε βοήθειαν.” τοῦ δὲ ὑποσχομένου ταῦτα μετὰ
not expect help him and having-promised these(-things) with
χαρᾶς ἐκπληρῶσαι, ἤγαγον αὐτὸν πλησίον τοῦ κάστρου,
joy to-fulfill they-led him near the fortress
καὶ ἐν οὐδενὶ θέμενος τὰ παρὰ τοῦ Σολδανοῦ
and at nothing having-set the(-things) by — Soldanos
ῥηθέντα πάντα, μήτε τὰς ἀπειλὰς αὐτοῦ φοβηθεὶς μήτε
spoken all neither the threats his having-feared nor
ταῖς ὑποσχέσεσιν αὐτοῦ πεισθείς, ἀλλὰ τὸν τοῦ
by-the promises his having-been-persuaded but the —
θεοῦ φόβον ἐν τῇ καρδίᾳ αὐτοῦ θέμενος διελογίσατο ἐν
of-God fear in the heart his having-set he-reasoned in
ἑαυτῷ ὅτι συμφέρον ἐστὶν ἐμὲ μόνον ἀποθανεῖν καὶ μὴ
himself that advantageous it-is me alone to-die and not
τοσαύτας ψυχὰς διὰ λόγου παγιδεῦσαι καὶ προδοῦναι εἰς
so-many souls by (a)-word to-ensnare and to-betray to
θάνατον. καὶ δὴ πλησίον τοῦ τείχους αὐτοῦ γενομένου
death and indeed near the wall him having-come
καὶ πάντας τοὺς ἄρχοντας προσκαλεσαμένου, εἶπε πρὸς
and all the princes having-called-forth he-said to
τοὺς ἐξουσιάσαντας τοῦ τοιούτου κάστρου “ἐγὼ μέν,
those having-authority-over the such fortress I indeed
κύριοί μου, τὴν διακονίαν μου ἐξεπλήρωσα, καὶ τὰ
lords my the ministry my have-fulfilled and the(-things)
παρὰ τοῦ βασιλέως Ῥωμαίων δηλωθέντα ὑμῖν ἀπαγγελῶ·
by the emperor of-(the)-Romans made-known to-you I-will-report
πλὴν ὁρκίζω ὑμᾶς εἰς τὸν υἱὸν τοῦ θεοῦ καὶ εἰς τὴν
however I-adjure you by the son — of-God and by the

σωτηρίαν παντὸς τοῦ κάστρου καὶ αὐτῶν τῶν ψυχῶν
safety of-all the fortress and of-the-very the souls
ὑμῶν, ἵνα ἀντὶ ἐμοῦ εὐεργετήσητε τὰ τέκνα μου καὶ
your that in-place-of me you-benefit the children my and
τὴν ἐλπίζουσαν ἀπολαβεῖν με σύμβιόν μου· ὡς γὰρ
the(-one) hoping to-receive-back me wife my as for
ποιήσητε μετὰ αὐτῶν, παρὰ τοῦ δικαίου καὶ μισθαποδότου
you-do with them from the just and rewarder
ἀγαθοῦ θεοῦ, μέλλοντος κρῖναι ζῶντας καὶ νεκρούς, τὸν
good God being-about to-judge (the)-living and (the)-dead the
μισθὸν ἀπολήψεσθε." καὶ ταῦτα εἰπὼν παρεθάρρυνεν
reward you-will-receive and these(-things) having-said he-encouraged
αὐτοὺς λέγων "ἐγὼ μὲν ἀπὸ τοῦ Σολδανοῦ ἀπολοῦμαι
them saying I indeed by — Soldanos shall-perish
καὶ περὶ τὴν ζωὴν κινδυνεύω· ὑμεῖς δὲ στῆτε ἑδραῖοι
and for the life am-in-danger you and stand firm
καὶ μὴ δειλανδρήσητε, ἀλλ' ὑπομείνατε μικρόν, καὶ εἰς
and not play-the-coward but endure (a)-little and in
ὀλίγον ἡμερῶν φθάσει ἡ ἀποσταλεῖσα ὑμῖν σωτηρία παρὰ
(a)-few of-days will-arrive the sent to-you deliverance from
τοῦ βασιλέως Ῥωμαίων." ταῦτα δὲ αὐτοῦ εἰπόντος, οἱ
the emperor of-(the)-Romans these(-things) and him having-said the
κατέχοντες αὐτὸν οἰκεῖοι τοῦ Σολδανοῦ παρὰ προσδοκίαν
holding him servants — of-Soldanos beyond expectation
τὰ παρ' αὐτοῦ λαληθέντα ἀκούσαντες ἔβρυξαν ἐπ'
the(-things) by him spoken having-heard gnashed at
αὐτὸν τοὺς ὀδόντας, καὶ εἷς τοῦ ἑτέρου προέτρεχον,
him the teeth and one than-the other ran-ahead
τίς ἄρα τῆς αὐτοῦ σφαγῆς γένειεν αὐτουργός. τοῦ δὲ
who then of-the his slaughter might-become (the)-perpetrator him and
παρ' αὐτῶν ἀναιρεθέντος, πτοηθεὶς ὁ Σολδανὸς τὴν
by them having-been-slain having-been-terrified — Soldanos the

τοῦ βασιλέως ἐρχομένην δυναστείαν ὑπέστρεψεν εἰς τὴν
of-the emperor coming power returned to the
ἰδίαν χώραν. καὶ ἔκτοτε καὶ μέχρι τοῦ νῦν καὶ οἱ τῆς
own land and from-then and until the now both those —
Καπύης καὶ οἱ τῆς Βενεβενδοῦ εἰσὶν ὑπὸ τὴν ἐξουσίαν
of-Capua and those — of-Benevento are under the authority
τῶν Ῥωμαίων εἰς τελείαν δούλωσιν καὶ ὑποταγὴν διὰ
of-the Romans in complete subjection and obedience because-of
τὴν εἰς αὐτοὺς γενομένην μεγάλην ταύτην εὐεργεσίαν.
the to them having-come great this benefaction
Ὅτι τὸ κάστρον τοῦ Ῥαουσίου οὐ καλεῖται Ῥαούση
that the fortress — of-Ragusa not is-called Raouse
τῇ Ῥωμαίων διαλέκτῳ, ἀλλ' ἐπεὶ ἐπάνω τῶν κρημνῶν
in-the of-(the)-Romans dialect but since upon the cliffs
ἵσταται, λέγεται δὲ Ῥωμαϊστὶ ὁ κρημνὸς λαῦ, ἐκλήθησαν
it-stands is-called and in-Latin the cliff lau they-were-called
ἐκ τούτου Λαυσαῖοι ἤγουν οἱ καθεζόμενοι εἰς τὸν κρημνόν.
from this Lausaioi that-is those sitting on the cliff
ἡ δὲ κοινὴ συνήθεια, ἡ πολλάκις μεταφθείρουσα τὰ
the and common usage the(-one) often corrupting the
ὀνόματα τῇ ἐναλλαγῇ τῶν γραμμάτων, μεταβαλοῦσα τὴν
names by-the exchange of-the letters having-changed the
κλῆσιν Ῥαουσαίους τούτους ἐκάλεσεν. οἱ δὲ αὐτοὶ Ῥαουσαῖοι
name Ragusans them called the and same Ragusans
τὸ παλαιὸν ἐκράτουν τὸ κάστρον τὸ ἐπιλεγόμενον
in-the old(-days) held the fortress the(-one) called
Πίταυρα· καὶ ἐπειδή, ἡνίκα τὰ λοιπὰ ἐκρατήθησαν κάστρα
Pitaura and since when the other were-taken fortresses
παρὰ τῶν Σκλάβων τῶν ὄντων ἐν τῷ θέματι, ἐκρατήθη
by the Slavs those being in the theme was-taken
καὶ τὸ τοιοῦτον κάστρον, καὶ οἱ μὲν ἐσφάγησαν οἱ
also the such fortress and some indeed were-slaughtered others

δὲ ἠχμαλωτίσθησαν, οἱ δὲ δυνηθέντες ἐκφυγεῖν καὶ
and were-taken-captive others and having-been-able to-escape and
διασωθῆναι εἰς τοὺς ὑποκρήμνους τόπους κατῴκησαν,
to-be-saved in the under-the-cliff places settled
ἐν ᾧ ἔστιν ἀρτίως τὸ κάστρον, οἰκοδομήσαντες αὐτὸ
in which is now the fortress having-built it
πρότερον μικρὸν καὶ πάλιν μετὰ ταῦτα μεῖζον, καὶ μετὰ
first small and again after these(-things) larger and after
τοῦτο πάλιν τὸ τεῖχος αὐτοῦ αὐξήσαντες μέχρι δ΄ ἔχειν
this again the wall its having-enlarged until 4 to-have
τὸ κάστρον διὰ τὸ πλατύνεσθαι αὐτοὺς κατ᾽ ὀλίγον καὶ
the fortress because-of the to-spread-out them by little and
πληθύνεσθαι. ἐκ δὲ τῶν μετοικησάντων εἰς τὸ Ῥαούσιον
to-multiply from and those having-migrated to — Ragusa
εἰσὶν οὗτοι, Γρηγόριος, Ἀρσάφιος, Βικτωρῖνος, Βιτάλιος,
are these Gregory Arsaphios Victorinus Vitalius
Βαλεντῖνος ὁ ἀρχιδιάκων, Βαλεντῖνος ὁ πατὴρ τοῦ
Valentine the archdeacon Valentine the father of-the
πρωτοσπαθαρίου Στεφάνου. ἀφ᾽ οὗ δὲ ἀπὸ Σαλῶνα
protospatharius Stephen from (the-time)-when and from Salona
μετῴκησαν εἰς Ῥαούσιον, εἰσὶν ἔτη φ΄ μέχρι τῆς σήμερον,
they-migrated to Ragusa there-are years 500 until the today
ἥτις ἰνδικτιῶνος ἑβδόμης ἔτους ,ϛυνζ΄. ἐν δὲ τῷ αὐτῷ
which (is)-of-(the)-indiction seventh of-(the)-year 6457 in and the same
κάστρῳ κεῖται ὁ ἅγιος Παγκράτιος ἐν τῷ ναῷ τοῦ ἁγίου
fortress lies the holy Pankratios in the temple of-the holy
Στεφάνου τῷ ὄντι μέσον τοῦ αὐτοῦ κάστρου.
Stephen the(-one) being (in)-(the)-middle of-the same fortress
Ὅτι τὸ Ἀσπαλάθου κάστρον, ὅπερ παλάτιον μικρὸν
that the of-Aspalathos fortress which palace little
ἑρμηνεύεται, ὁ βασιλεὺς Διοκλητιανὸς τοῦτο ἔκτισεν· εἶχε
is-interpreted the emperor Diocletian this built he-had

δὲ αὐτὸ ὡς ἴδιον οἶκον, καὶ αὐλὴν οἰκοδομήσας ἔνδοθεν καὶ
and it as own house and court having-built inside also
παλάτια, ἐξ ὧν τὰ πλείονα κατελύθησαν. σώζεται δὲ μέχρι
palaces of which the greater-part were-destroyed survive and until
τοῦ νῦν ὀλίγα, ἐξ ὧν ἐστὶ τὸ ἐπισκοπεῖον τοῦ κάστρου
the now few of which is the bishop's-house of-the fortress
καὶ ὁ ναὸς τοῦ ἁγίου Δόμνου, ἐν ᾧ κατάκειται ὁ αὐτὸς
and the temple of-the holy Domnus in which lies the same
ἅγιος Δόμνος, ὅπερ ἦν κοιτὼν τοῦ αὐτοῦ βασιλέως
holy Domnus which was (the)-bedchamber of-the same emperor
Διοκλητιανοῦ. ὑποκάτω δὲ αὐτοῦ ὑπάρχουσιν εἰλληματικαὶ
Diocletian beneath and it are vaulted
καμάραι, αἵτινες ὑπῆρχον φυλακαὶ ἐν αἷς τοὺς παρ' αὐτοῦ
chambers which were prisons in which the by him
βασανιζομένους ἁγίους ἐναπέκλειεν ἀπηνῶς. ἀπόκειται δὲ
tortured saints he-shut-up cruelly is-laid-up and
καὶ ἐν αὐτῷ τῷ κάστρῳ καὶ ὁ ἅγιος Ἀναστάσιος.
also in the-very the fortress also the holy Anastasius
Ὅτι τὸ τεῖχος τοῦ τοιούτου κάστρου οὔτε ἀπὸ βησάλων
that the wall of-the such fortress neither from bricks
ἐστὶν ἐκτισμένον οὔτε ἀπὸ ἐγχορήγου, ἀλλ' ἀπὸ λίθων
is built nor from rubble but from stones
τετραπεδίκων ἐχόντων εἰς μῆκος ἀνὰ ὀργυιᾶς α΄, πολλάκις
squared having in length each fathom 1 often
καὶ ἀνὰ δύο, καὶ τὸ πλάτος ἀνὰ ὀργυιᾶς μιᾶς, οἵτινές εἰσι
also each two and the breadth each fathom one which are
συνηρμοσμένοι καὶ συνδεδεμένοι εἰς ἀλλήλους μετὰ σιδήρων
fitted-together and bound to each-other with irons
ἐν μολίβδῳ ἐγχυλιασμένων. ἵστανται δὲ καὶ εἰς τὸ τοιοῦτον
in lead set stand and also in the such
κάστρον καὶ κίονες πυκνοί, ἔχοντες ἐπάνω κοσμίτας, ἐν οἷς
fortress also columns close-set having above cornices on which

ἔμελλεν ὁ αὐτὸς βασιλεὺς Διοκλητιανὸς εἰληματικὰς ἐγεῖραι
was-about the same emperor Diocletian vaulted to-raise
καμάρας, καὶ σκεπάσαι τὸ κάστρον ὅλον, καὶ ποιῆσαι τὰ
chambers and to-cover the fortress whole and to-make the
παλάτια αὐτοῦ καὶ πάντα τὰ οἰκήματα τοῦ κάστρου ἐπάνω
palaces his and all the dwellings of-the fortress above
τῶν εἰλημάτων ἐκείνων διόροφα καὶ τριόροφα, ὥστε μὴ
the vaults those two-storied and three-storied so-that not
ὀλίγον ἐκ τοῦ αὐτοῦ κάστρου ἐσκέπασε. τοῦ δὲ τοιούτου
little of the same fortress he-covered of-the and such
κάστρου τὸ τεῖχος οὔτε περίπατον ἔχει οὔτε προμαχῶνας,
fortress the wall neither walkway has nor ramparts
ἀλλὰ τοίχους μόνους ὑψηλοὺς καὶ τοξικὰς φωταγωγούς.
but walls only high and arched windows
Ὅτι τὸ κάστρον τὸ Τετραγγούριν μικρόν ἐστι νησίον ἐν
that the fortress — Tetrangourin small is (an)-islet in
τῇ θαλάσσῃ, ἔχον καὶ τράχηλον ἕως τῆς γῆς στενώτατον
the sea having also (a)-neck as-far-as the land very-narrow
δίκην γεφυρίου, ἐν ᾧ διέρχονται οἱ κατοικοῦντες εἰς
in-the-manner-of (a)-little-bridge by which pass those dwelling in
τὸ αὐτὸ κάστρον. Τετραγγούριν δὲ καλεῖται διὰ τὸ εἶναι
the same fortress Tetrangourin and it-is-called because-of the to-be
αὐτὸ μικρὸν δίκην ἀγγουρίου. ἐν δὲ τῷ αὐτῷ κάστρῳ
it small in-the-manner-of (a)-cucumber in and the same fortress
ἀπόκειται ὁ ἅγιος μάρτυρ Λαυρέντιος ὁ ἀρχιδιάκων.
is-laid-up the holy martyr Lawrence the archdeacon
Ὅτι τὸ κάστρον τῶν Δεκατέρων ἑρμηνεύεται τῇ Ῥωμαίων
that the fortress of-the Dekatera is-interpreted in-the of-(the)-Romans
διαλέκτῳ ἐστενωμένον καὶ πεπληγμένον, διότι εἰσέρχεται ἡ
dialect narrowed and pressed because enters the
θάλασσα ὥσπερ γλῶσσα ἐστενωμένη μέχρι τῶν δεκαπέντε
sea like (a)-tongue narrowed as-far-as the fifteen

καὶ εἴκοσι μιλίων, καὶ εἰς τὸ τῆς θαλάσσης συμπλήρωμά
and twenty miles and at the of-the sea end
ἐστι τὸ κάστρον. ἔχει δὲ τὸ τοιοῦτον κάστρον κύκλον αὐτοῦ
is the fortress has and the such fortress around it
ὄρη ὑψηλά, ὥστε μόνῳ τῷ καλοκαιρίῳ βλέπειν τὸν
mountains high so-that only in-the summer to-see the
ἥλιον διὰ τὸ μεσουρανεῖν, τῷ δὲ χειμῶνι οὐδαμῶς. ἐν δὲ
sun because-of the to-be-in-mid-heaven in-the and winter not-at-all in and
τῷ αὐτῷ κάστρῳ κεῖται ὁ ἅγιος Τρύφων ἀκεραίως πᾶσαν
the same fortress lies the holy Tryphon wholly every
νόσον ἰώμενος, μάλιστα τοὺς ὑπὸ πνευμάτων ἀκαθάρτων
disease healing especially those by spirits unclean
τυραννουμένους· ὁ δὲ ναὸς αὐτοῦ ἐστὶν εἰλληματικός.
tyrannized the and temple his is vaulted
Ὅτι τὸ κάστρον τῶν Διαδώρων καλεῖται τῇ Ῥωμαίων
that the fortress of-the Diadora is-called in-the of-(the)-Romans
διαλέκτῳ ἰὰμ ἔρατ, ὅπερ ἑρμηνεύεται ἀπάρτι ἦτον· δηλονότι
dialect iam erat which is-interpreted already it-was evidently
ὅτε ἡ Ῥώμη ἐκτίσθη, προεκτισμένον ἦν τὸ τοιοῦτον κάστρον·
when — Rome was-built built-before was the such fortress
ἔστι δὲ τὸ κάστρον μέγα. ἡ δὲ κοινὴ συνήθεια καλεῖ
is and the fortress great the and common usage calls
αὐτὸ Διάδωρα. ἐν δὲ τῷ αὐτῷ κάστρῳ κεῖται ἐν σαρκὶ ἡ
it Diadora in and the same fortress lies in (the)-flesh the
ἁγία Ἀναστασία ἡ παρθένος, θυγάτηρ γεγονυῖα Εὐσταθίου
holy Anastasia the virgin daughter having-been of-Eustathios
τοῦ κατὰ τὸν καιρὸν ἐκεῖνον βασιλεύσαντος, καὶ ὁ ἅγιος
the(-one) at the time that having-reigned and the holy
Χρυσόγονος μοναχὸς καὶ μάρτυς, καὶ ἡ ἁγία ἅλυσις αὐτοῦ.
Chrysogonos monk and martyr and the holy chain his
ὁ δὲ ναὸς τῆς ἁγίας Ἀναστασίας ἐστὶ δρομικός, ὅμοιος τῷ
the and temple of-the holy Anastasia is oblong like to-the

Χαλκοπρατίων ναῷ, μετὰ κιόνων πρασίνων καὶ λευκῶν,
of-the-Chalkoprateia temple with columns green and white
ὅλος εἰκονισμένος ἐξ ὑλογραφίας ἀρχαίας· ὁ δὲ πάτος
whole painted with painting ancient the and floor
αὐτοῦ ἐστὶν ἀπὸ συγκοπῆς θαυμαστῆς. ἔστι δὲ καὶ ἕτερος
its is of inlay-work marvelous there-is and also another
ναὸς πλησίον αὐτοῦ εἰλληματικός, ἡ ἁγία Τριάς· καὶ ἐπάνω
temple near it vaulted the holy Trinity and above
τοῦ ναοῦ αὐτοῦ πάλιν ἕτερος ναὸς δίκην κατηχουμένων,
the temple its again another temple in-the-manner-of galleries
καὶ αὐτὸς εἰλληματικός, εἰς ὃν καὶ ἀνέρχονται διὰ κοχλείας.
and it vaulted to which also they-go-up by (a)-spiral-stair
Ὅτι εἰσὶ νησία ὑπὸ τὴν ἐπικράτειαν τῆς Δελματίας
that there-are islets under the dominion — of-Dalmatia
μέχρι Βενεβενδοῦ πυκνὰ καὶ πάμπολλα, ὥστε μηδέποτε
as-far-as Benevento close-set and very-many so-that never
φοβεῖσθαι κλύδωνα ἐκεῖσε τὰ πλοῖα. ἐξ αὐτῶν τῶν νησίων
to-fear (a)-swell there the ships of the-very the islets
ἐστὶ τὸ κάστρον ἡ Βέκλα, καὶ εἰς ἕτερον νησίον ἡ Ἄρβη,
is the fortress — Vekla and on another islet — Arbe
καὶ εἰς ἕτερον νησίον ἡ Ὄψαρα, καὶ εἰς ἕτερον νησίον
and on another islet — Opsara and on another islet
τὸ Λουμβρικάτον, ἅτινα κατοικοῦνται μέχρι τοῦ νῦν· τὰ
— Loumbrikaton which are-inhabited until the now the
δὲ λοιπά εἰσιν ἀοίκητα, ἔχοντα ἐρημόκαστρα, ὧν τὰ
and others are uninhabited having deserted-fortresses of-which the
ὀνόματά εἰσιν οὕτω, Καταυτρεβενὼ Πιζὺχ Σελβὼ Σκερδὰ
names are thus Katautreveno Pizych Selvo Skerda
Ἀλωὴπ Σκιρδάκισσα Πυρότιμα Μελετὰ Ἑστιουνήζ, καὶ
Aloep Skirdakissa Pyrotima Meleta Estiounez and
ἕτερα πάμπολλα ὧν τὰ ὀνόματα οὐ νοοῦνται. τὰ δὲ
others very-many of-which the names not are-understood the and

λοιπὰ κάστρα τὰ ὄντα εἰς τὴν ξηρὰν τοῦ θέματος καὶ
other fortresses those being on the dry-land of-the theme and
κρατηθέντα παρὰ τῶν εἰρημένων Σκλάβων ἀοίκητα καὶ
taken by the said Slavs uninhabited and
ἔρημα ἵστανται, μηδενὸς κατοικοῦντος ἐν αὐτοῖς.
deserted stand no-one dwelling in them

XXX · AN ACCOUNT OF DALMATIA

Dalmatia once stretched from Dyrrachium to Istria and the Danube. The Avars took Salona disguised in captured Dalmatian clothes. Five brothers and two sisters led the Croats in, and they defeated the Avars. The Croats threw off the Franks, who had killed their infants, and were baptized from Rome. The chapter describes the zupanias of Croatia and the lands of the neighboring Slavs, and how Basil had the coastal towns pay their tribute to the Slavs.

διήγησις περὶ τοῦ θέματος Δελματίας.
(an)-account concerning the theme of-Dalmatia
Εἰ πᾶσιν ἡ γνῶσις καλόν, καὶ ἡμεῖς ἄρα τῶν πραγμάτων
if for-all the knowledge (is)-good also we then of-the affairs
τὴν γνῶσιν καταλαμβάνοντες οὐ πόρρω τούτου γινώμεθα.
the knowledge grasping not far from-this are
ὅθεν καὶ πᾶσι φανερὰν ποιοῦμεν τῶν μεθ' ἡμᾶς πῇ
whence also to-all evident we-make of-those after us in-one-place
μὲν τούτων τὴν δήλωσιν πῇ δὲ ἑτέρων τινῶν
indeed of-these the setting-forth in-another and of-others some
ἀξιολόγων, ἵνα διπλοῦν ἐπανακολουθῇ τὸ καλόν. τοῖς
notable so-that double may-follow the good to-those
οὖν καὶ τῆς Δελματίας τὴν παράληψιν ζητοῦσιν, ὅπως
then also — of-Dalmatia the taking seeking how
ἐλήφθη παρὰ τῶν Σκλαβικῶν ἐθνῶν, ἐντεῦθεν ἔστι
it-was-taken by the Slavonic nations from-here it-is

μαθεῖν. ἀλλὰ πρότερον τὴν θέσιν αὐτῆς διηγητέον. ἐκ
to-learn but first the position its must-be-related from
παλαιοῦ μὲν τοίνυν ἡ Δελματία τὴν ἀρχὴν μὲν εἶχεν
old indeed then — Dalmatia the beginning indeed had
ἀπὸ τῶν συνόρων Δυρραχίου ἤγουν ἀπὸ Ἀντιβάρεως,
from the borders of-Dyrrachium that-is from Antibaris
καὶ παρετείνετο μὲν μέχρι τῶν τῆς Ἰστρίας ὀρῶν,
and extended indeed as-far-as the — of-Istria mountains
ἐπλατύνετο δὲ μέχρι τοῦ Δανουβίου ποταμοῦ. ἦν δὲ
was-broad and as-far-as the Danube river was and
ἅπασα ἡ τοιαύτη περίχωρος ὑπὸ τὴν Ῥωμαίων ἀρχήν,
all the such surrounding-country under the of-(the)-Romans rule
καὶ ἐνδοξότερον τῶν ἄλλων ἑσπερίων θεμάτων τὸ τοιοῦτον
and more-glorious of-the other western themes the such
θέμα ἐτύγχανεν· πλὴν παρελήφθη παρὰ τὴν Σκλαβινικῶν
theme happened-to-be however it-was-taken by the Slavonic
ἐθνῶν τρόπῳ τοιῷδε. κάστρον ἐστὶ πλησίον Ἀσπαλάθου
nations in-(a)-way such (a)-fortress is near Aspalathos
ὃ Σαλῶνα λέγεται, ἔργον Διοκλητιανοῦ βασιλέως. ἀλλ᾽
which Salona is-called (a)-work of-Diocletian (the)-emperor but
ἡ μὲν Ἀσπάλαθος καὶ αὐτὴ παρὰ Διοκλητιανοῦ ἐκτίσθη,
— indeed Aspalathos also itself by Diocletian was-built
καὶ τὰ αὐτοῦ βασιλικὰ ἐκεῖσε ἐτύγχανον· εἰς δὲ
and the his imperial(-residences) there happened-to-be in and
Σαλῶναν κατῴκουν οἱ μεγιστᾶνες αὐτοῦ καὶ τῶν ὄχλων
Salona dwelt the grandees his and of-the crowds
ἱκανοί. ὑπῆρχε δὲ τὸ τοιοῦτον κάστρον κεφαλὴ
considerable(-numbers) was and the such fortress head
πάσης τῆς Δελματίας. ἠθροίζοντο οὖν ἀνὰ πᾶν ἔτος ἐκ
of-all — Dalmatia were-assembled then by every year from
τῶν λοιπῶν κάστρων τῆς Δελματίας στρατιῶται ἔφιπποι,
the other fortresses — of-Dalmatia soldiers mounted

καὶ ἀπεστέλλοντο ἀπὸ τῆς Σαλῶνος μέχρι τῶν χιλίων,
and were-sent from — Salona up-to the thousand
καὶ ἐφύλαττον εἰς τὸν Δανουβίου ποταμὸν ἕνεκα τῶν
and they-kept-guard on the Danube river on-account-of the
Ἀβάρων· οἱ γὰρ Ἀβάρεις ἐκεῖθεν τοῦ Δανουβίου ποταμοῦ
Avars the for Avars beyond-there of-the Danube river
τὰς διατριβὰς ἐποιοῦντο, ἔνθα ἀρτίως εἰσὶν οἱ Τοῦρκοι,
the abodes made where now are the Turks
νομάδα βίον ζῶντες. ἀπερχόμενοι δὲ οἱ Δελματίας κατ᾽
(a)-nomad life living going-away and the Dalmatians each
ἔτος ἔβλεπον πολλάκις ἐκεῖθεν τοῦ ποταμοῦ τά τε
year saw often beyond-there of-the river the both
κτήνη καὶ τοὺς ἀνθρώπους. ἔδοξεν οὖν αὐτοῖς κατά
cattle and the men it-seemed then to-them at
τινα χρόνον διαπερᾶσαι καὶ ἐρευνῆσαι τίνες εἰσὶν οἱ
some time to-cross and to-search-out who are those
ἐκεῖσε τὴν δίαιταν ἔχοντες. περάσαντες οὖν εὗρον τὰς
there the way-of-life having having-crossed then they-found the
γυναῖκας τῶν Ἀβάρων καὶ τὰ παιδία μόνα, τοὺς ἄνδρας
wives of-the Avars and the children alone the men
δὲ καὶ τὴν ἀκμάζουσαν ἡλικίαν ἐν ταξειδίῳ. ἄφνω οὖν
but and the flourishing age on campaign suddenly then
ἐπιπεσόντες ᾐχμαλώτευσαν αὐτούς, καὶ ὑπέστρεψαν
having-fallen-upon(-them) they-captured them and returned
ἀταλαιπώρως, ἀποκομίσαντες τὴν τοιαύτην πραῖδαν εἰς
without-hardship having-carried-off the such plunder to
Σαλῶνα. ὡς οὖν ὑπέστρεψαν οἱ Ἄβαρες ἐκ τοῦ ταξειδίου
Salona when then returned the Avars from the campaign
καὶ τὸ γενόμενον ἀφ᾽ ὧν ἔπαθον ἔμαθον,
and the having-happened from (the-things)-which they-had-suffered learned
ἐταράχθησαν μέν, ἠγνόουν δὲ ὁπόθεν αὐτοῖς ἡ τοιαύτη
they-were-troubled indeed they-did-not-know and whence on-them the such

πληγὴ προσεγένετο. ἔδοξεν οὖν αὐτοῖς παραφυλάξαι τὸν
blow had-come it-seemed then to-them to-watch-for the
καιρὸν καὶ μαθεῖν τὸ πᾶν ἐξ αὐτοῦ. ἐπεὶ οὖν κατὰ τὸ
time and to-learn the whole from it since then according-to the
σύνηθες αὖθις οἱ ταξεῶται ἀπεστάλησαν ἀπὸ Σαλῶνος,
custom again the campaigners were-sent from Salona
ἦσαν δὲ οὐκ ἐκεῖνοι ἀλλ᾽ ἕτεροι, ταὐτὰ ἐκείνοις καὶ
they-were and not those but others the-same-things as-those also
οὗτοι κατὰ βουλὰς ἔθεντο. διεπέρασαν οὖν κατ᾽ αὐτῶν,
these by counsels set they-crossed then against them
ἐντυχόντες δὲ αὐτοῖς συνηγμένοις ὁμοῦ, οὐχ ὡς τὸ
having-met and them gathered together not as the
πρότερον ἐσκορπισμένοις, οὐ μόνον οὐδὲν ἐποίησαν ἀλλὰ
before scattered not only nothing they-did but
καὶ τὰ πάντων δεινότατα ἔπαθον· οἱ μὲν γὰρ αὐτῶν
also the of-all most-terrible-things suffered some indeed for of-them
ἐσφάγησαν, οἱ δὲ λοιποὶ ἐχειρώθησαν ζῶντες, καὶ οὐδεὶς
were-slaughtered the and others were-taken alive and no-one
ἐκείνων τῶν χειρῶν ἐξέφυγεν. ἐξετάσαντες δὲ αὐτοὺς
of-those the hands escaped having-questioned and them
τίνες καὶ ὅθεν εἰσί, καὶ ἀναμαθόντες ὅτι ἐξ αὐτῶν
who and whence they-are and having-learned that from them
ἔπαθον τὴν εἰρημένην πληγήν, ἔτι δὲ καὶ περὶ τῆς
they-had-suffered the said blow yet and also concerning the
ποιότητος τοῦ τόπου αὐτῶν ἐρευνήσαντες, καὶ ὅσον ἐξ
quality of-the place their having-inquired and as-much-as by
ἀκοῆς ἐρασθέντες, ἐκράτησαν τοὺς ζῶντας δεσμίους, καὶ
hearing having-fallen-in-love they-held the living (as)-prisoners and
ἐνεδύσαντο τὰ ἱμάτια αὐτῶν καθὰ ἐκεῖνοι, καὶ δὴ τοὺς
put-on the clothes their as those and indeed the
ἵππους ἀναβάντες, ἐπὶ χεῖρας τά τε φλάμουλα καὶ τὰ
horses having-mounted in hands the both pennons and the

λοιπὰ σημεῖα ἃ ἐπεφέροντο μετ᾽ αὐτῶν, ἀπῆραν πάντες
other standards which they-carried with them set-out all
φοσσατικῶς καὶ κατὰ τῆς Σαλῶνος ὥρμησαν. ὡς οὖν καὶ
in-army-array and against — Salona rushed as then also
τὸν καιρὸν ἔμαθον ζητήσαντες καθ᾽ ὃν οἱ ταξεῶται
the time they-had-learned having-sought at which the campaigners
ἐκ τοῦ Δανουβίου ὑπέστρεφον (ἦν δὲ τὸ μέγα καὶ ἅγιον
from the Danube returned it-was and the great and holy
σάββατον), ἦλθον καὶ κατὰ τὴν αὐτὴν ἡμέραν. καὶ τὸ
sabbath they-came also on the same day and the
μὲν πλῆθος, ὅτε δήπου πλησίον ἐγένοντο, τοῦ φοσσάτου
indeed multitude when surely near they-came of-the army
ἀπεκρύβη· μέχρι δὲ τῶν χιλίων, οἵτινες τούς τε ἵππους
was-hidden up-to and the thousand who the both horses
καὶ τὰς στολὰς εἰς ἀπάτην ἐκέκτηντο τῶν Δελματινῶν,
and the robes for deception had-acquired of-the Dalmatians
ἐξήλασαν. ἀναγνωρίσαντες δὲ οἱ τοῦ κάστρου τά τε
rode-forward having-recognized and those of-the fortress the both
σημεῖα καὶ τὴν ἀμφίασιν αὐτῶν, ἀλλὰ καὶ τὴν ἡμέραν ὡς
standards and the dress their but also the day as
ἔθους ὄντος αὐτοῖς τοῦ ὑποστρέφειν ἐν αὐτῇ, ἤνοιξαν τὰς
(a)-custom being for-them of-the to-return on it opened the
πόρτας καὶ ὑπεδέξαντο αὐτοὺς μετὰ περιχαρείας. ἐκεῖνοι δὲ
gates and received them with great-joy they and
ἅμα τοῦ εἰσελθεῖν τάς τε πόρτας ἐκράτησαν, καὶ
at-the-same-time-as the to-enter the both gates seized and
δήλην διὰ σημείου τὴν πρᾶξιν τῷ φοσσάτῳ πεποιηκότες
evident by (a)-signal the deed to-the army having-made
συνεισδραμεῖν καὶ συνεισελθεῖν παρεσκεύασαν. κατέσφαξαν
to-run-in-together and to-enter-together prepared(-them) they-slaughtered
οὖν πάντας τοὺς τῆς πόλεως, καὶ ἔκτοτε κατεκράτησαν
then all those of-the city and from-then took-control-of

πᾶσαν τὴν χώραν Δελματίας καὶ κατεσκήνωσαν ἐν αὐτῇ.
all the land of-Dalmatia and settled in it
μόνα δὲ τὰ πρὸς θάλασσαν πολίχνια οὐ συνέδωκαν αὐτοῖς,
only and the toward (the)-sea little-towns not surrendered to-them
ἀλλὰ κατείχοντο παρὰ τῶν Ῥωμαίων διὰ τὸ εἶναι τὸν
but were-held by the Romans because-of the to-be the
πόρον τῆς ζωῆς αὐτῶν ἐκ τῆς θαλάσσης. ἰδόντες οὖν οἱ
means of-the life their from the sea having-seen then the
Ἀβάρεις καλλίστην οὖσαν τὴν τοιαύτην γῆν κατεσκήνωσαν
Avars most-beautiful being the such land settled
ἐν αὐτῇ. οἱ δὲ Χρωβάτοι κατῴκουν τηνικαῦτα ἐκεῖθεν
in it the and Croats dwelt at-that-time beyond-there
Βαγιβαρείας, ἔνθα εἰσὶν ἀρτίως οἱ Βελοχρωβάτοι. μία δὲ
of-Bavaria where are now the White-Croats one and
γενεὰ διαχωρισθεῖσα ἐξ αὐτῶν, ἤγουν ἀδελφοὶ πέντε,
family having-separated from them that-is brothers five
ὅ τε Κλουκὰς καὶ ὁ Λόβελος καὶ ὁ Κοσέντζης καὶ ὁ
— both Kloukas and — Lobelos and — Kosentzes and —
Μουχλὼ καὶ ὁ Χρώβατος, καὶ ἀδελφαὶ δύο, ἡ Τοῖγα
Mouchlo and — Chrobatos and sisters two — Toiga
καὶ ἡ Βοῦγα, μετὰ τοῦ λαοῦ αὐτῶν ἦλθον εἰς Δελματίαν,
and — Bouga with the people their came to Dalmatia
καὶ εὗρον τοὺς Ἀβάρεις κατέχοντας τὴν τοιαύτην γῆν.
and found the Avars holding the such land
ἐπί τινας οὖν χρόνους πολεμοῦντες ἀλλήλοις ὑπερίσχυσαν
for some then years warring with-each-other prevailed
οἱ Χρωβάτοι, καὶ τοὺς μὲν τῶν Ἀβάρων κατέσφαξαν,
the Croats and some indeed of-the Avars they-slaughtered
τοὺς δὲ λοιποὺς ὑποταγῆναι κατηνάγκασαν. ἔκτοτε οὖν
the and others to-be-subjected they-compelled from-then then
κατεκρατήθη ἡ τοιαύτη χώρα παρὰ τῶν Χρωβάτων· καὶ
was-held the such land by the Croats and

εἰσὶν ἀκμὴν ἐν Χρωβατίᾳ ἐκ τοὺς τῶν Ἀβάρων, καὶ
there-are still in Croatia of the of-the Avars and
γινώσκονται Ἀβάρεις ὄντες. οἱ δὲ λοιποὶ Χρωβάτοι ἔμειναν
they-are-known Avars being the and other Croats remained
πρὸς Φραγγίαν, καὶ λέγονται ἀρτίως Βελοχρωβάτοι ἤγουν
toward Frankland and are-called now White-Croats that-is
ἄσπροι Χρωβάτοι, ἔχοντες τὸν ἴδιον ἄρχοντα· ὑπόκεινται
white Croats having the own prince are-subject
δὲ Ὄτῳ τῷ μεγάλῳ ῥηγὶ Φραγγίας τῆς καὶ Σαξίας, καὶ
and to-Otto the great king of-Frankland the also of-Saxony and
ἀβάπτιστοι τυγχάνουσι, συμπενθερίας μετὰ τοὺς Τούρκους
unbaptized they-are marriage-alliances with the Turks
καὶ ἀγάπας ἔχοντες. ἀπὸ δὲ Χρωβάτων τῶν ἐλθόντων
and friendships having from and (the)-Croats those having-come
ἐν Δελματίᾳ διεχωρίσθη μέρος τι, καὶ ἐκράτησε τὸ
to Dalmatia separated (a)-part some and took-control-of —
Ἰλλυρικὸν καὶ τὴν Παννονίαν· εἶχον δὲ καὶ αὐτοὶ ἄρχοντα
Illyricum and — Pannonia they-had and also they (a)-prince
αὐτεξούσιον, διαπεμπόμενον πρὸς τὸν ἄρχοντα Χρωβατίας
independent sending(-envoys) to the prince of-Croatia
κατὰ φιλίαν. μέχρι δὲ χρόνων τινῶν ὑπετάσσοντο καὶ οἱ
in friendship until and times some were-subject also the
ἐν Δελματίᾳ ὄντες Χρωβάτοι τοῖς Φράγγοις, καθὼς καὶ
in Dalmatia being Croats to-the Franks as also
πρότερον ἐν τῇ χώρᾳ αὐτῶν· τοσοῦτον δὲ ἐσκληρύνοντο
before in the land their so-much and were-harsh
οἱ Φράγγοι πρὸς αὐτοὺς ὅτι τὰ ὑπομάσθια τῶν Χρωβάτων
the Franks toward them that the sucklings of-the Croats
φονεύοντες προσέρριπτον αὐτὰ σκύλαξι. μὴ δυνάμενοι δὲ
killing they-threw them to-dogs not being-able and
οἱ Χρωβάτοι ταῦτα παρὰ τῶν Φράγγων ὑφίστασθαι
the Croats these(-things) from the Franks to-endure

διέστησαν ἀπ᾽ αὐτῶν, φονεύσαντες καὶ οὓς εἶχον ἄρχοντας
revolted from them having-killed also whom they-had (as)-princes
ἐξ αὐτῶν· ὅθεν ἐστράτευσαν κατ᾽ αὐτῶν ἀπὸ Φραγγίας
from them whence marched against them from Frankland
φοσσάτον μέγα, καὶ ἐπὶ ἑπτὰ χρόνους πολεμήσαντες
(an)-army great and for seven years having-warred
ἀλλήλοις ὀψὲ καὶ μόγις ὑπερίσχυσαν οἱ Χρωβάτοι, καὶ
with-each-other late and hardly prevailed the Croats and
ἀνεῖλον τοὺς Φράγγους πάντας καὶ τὸν ἄρχοντα αὐτῶν
destroyed the Franks all and the prince their
Κοτζίλιν καλούμενον. ἔκτοτε δὲ μείναντες αὐτοδέσποτοι
Kotzilis called from-then and having-remained their-own-masters
αὐτόνομοι ἐξῃτήσαντο τὸ ἅγιον βάπτισμα παρὰ τοῦ
independent they-asked-for the holy baptism from the(-bishop)
Ῥώμης· καὶ ἀπεστάλησαν ἐπίσκοποι καὶ ἐβάπτισαν αὐτοὺς
of-Rome and were-sent bishops and baptized them
ἐπὶ Πορίνου τοῦ ἄρχοντος αὐτῶν. διεμερίσθη οὖν ἡ χώρα
under Porinos the prince their was-divided then the land
αὐτῶν εἰς ζουπανίας ια΄, ἤγουν ἡ Χλεβίανα, ἡ Τζέντζηνα,
their into zupanias 11 that-is — Chlebena — Tzentina
τὰ Ἥμοτα, ἡ Πλέβα, ἡ Πεσέντα, ἡ παραθαλασσία,
— Emota — Pleva — Pesenta — Parathalassia
ἡ Βρεβέρα, ἡ Νόνα, ἡ Τνήνα, ἡ Σίδραγα, ἡ Νίνα·
— Brebera — Nona — Tnena — Sidraga — Nina
καὶ ὁ βοάνος αὐτῶν κρατεῖ τὴν Κρίβασαν, τὴν Λίτζαν
and the ban their holds — Kribasa — Litza
καὶ τὴν Γουτζηκᾶ. καὶ ἡ μὲν εἰρημένη Χρωβατία,
and — Goutzeka and the indeed said Croatia
ἀλλὰ καὶ οἱ λοιποὶ Σκλαβίνιοι διάκεινται οὕτως· ἡ δὲ
but also the other Slavonians are-disposed thus — and
Διόκλεια πλησιάζει πρὸς τὰ καστέλλια τοῦ Δυρραχίου
Diokleia borders on the castles — of-Dyrrachium

ἤγουν πρὸς τὸν Ἐλισσὸν καὶ πρὸς τὸν Ἐλκύνιον καὶ
that-is on — Elissos and on — Elkynion and
τὴν Ἀντίβαριν, καὶ ἔρχεται μέχρι τῶν Δεκατέρων, πρὸς
— Antibaris and comes as-far-as the Dekatera toward
τὰ ὀρεινὰ δὲ πλησιάζει τῇ Σερβλίᾳ. ἀπὸ δὲ τοῦ
the mountainous(-parts) and it-borders — on-Serbia from and the
κάστρου τῶν Δεκατέρων ἄρχεται ἡ ἀρχοντία Τερβουνίας,
fortress of-the Dekatera begins the government of-Terbounia
καὶ παρεκτείνεται μέχρι τοῦ Ῥαουσίου, πρὸς δὲ τὰ
and extends as-far-as — Ragusa toward and the
ὀρεινὰ αὐτῆς πλησιάζει τῇ Σερβλίᾳ. ἀπὸ δὲ τοῦ
mountainous(-parts) its it-borders — on-Serbia from and —
Ῥαουσίου ἄρχεται ἡ ἀρχοντία τῶν Ζαχλούμων καὶ
Ragusa begins the government of-the Zachlumi and
παρεκτείνεται μέχρι τοῦ Ὀροντίου ποταμοῦ, καὶ πρὸς μὲν
extends as-far-as the Orontios river and toward indeed
τὴν παραθαλασσίαν πλησιάζει τοῖς Παγανοῖς, πρὸς δὲ τὰ
the coast it-borders on-the Pagani toward and the
ὀρεινὰ εἰς ἄρκτον μὲν πλησιάζει τοῖς Χρωβάτοις,
mountainous(-parts) to (the)-north indeed it-borders on-the Croats
εἰς κεφαλὴν δὲ τῇ Σερβλίᾳ. ἀπὸ δὲ τοῦ Ὀροντίου
at (the)-head and — on-Serbia from and the Orontios
ποταμοῦ ἄρχεται ἡ Παγανία, καὶ παρεκτείνεται μέχρι
river begins — Pagania and extends as-far-as
τοῦ ποταμοῦ τῆς Ζεντίνας, τρεῖς ἔχουσα ζουπανίας, τὴν
the river of-the Tzentina three having zupanias —
Ῥάστωτζαν καὶ τὸ Μοκρὸν καὶ τὸ Δαλέν. καὶ αἱ μὲν δύο
Rhastotza and — Mokron and — Dalen and the indeed two
ζουπανίαι, ἤγουν ἡ Ῥάστωτζα, καὶ ἡ τοῦ Μοκροῦ,
zupanias that-is — Rhastotza and the(-one) — of-Mokron
πρόσκεινται τῇ θαλάσσῃ· αἵτινες καὶ σαγήνας ἔχουσιν·
lie-against the sea which also galleys have

ἡ δὲ τοῦ Δαλενοῦ μηκόθέν ἐστὶ τῆς θαλάσσης, καὶ
the and — of-Dalen far-off is from-the sea and
ἐκ τῆς ἐργασίας ζῶσι τῆς γῆς. πλησιάζουσι δὲ αὐτοῖς
from the working they-live of-the land border and on-them
νῆσοι τέσσαρες, τὰ Μέλετα, τὰ Κούρκουρα, ἡ Βάρτζω
islands four — Meleta — Kourkoura — Bartzo
καὶ ὁ Φάρος, κάλλισται καὶ εὐφορώταται, ἐρημόκαστρα
and — Pharos most-beautiful and most-fertile deserted-fortresses
ἔχουσαι καὶ ἐλῶνας πολλούς· οἰκοῦσι δὲ ἐν αὐταῖς καὶ
having and olive-groves many they-dwell and on them and
ἔχουσι τὰ κτήνη αὐτῶν καὶ ἐξ αὐτῶν ζῶσιν. ἀπὸ δὲ τῆς
have the cattle their and from them they-live from and the
Ζεντίνας τοῦ ποταμοῦ ἄρχεται ἡ χώρα τῆς Χρωβατίας,
Tzentina the river begins the land — of-Croatia
καὶ παρεκτείνεται πρὸς μὲν τὴν παραθαλασσίαν μέχρι
and extends toward indeed the coast as-far-as
τῶν συνόρων Ἰστρίας ἤγουν τοῦ κάστρου Ἀλβούνου· πρὸς
the borders of-Istria that-is of-the fortress of-Albounon toward
δὲ τὰ ὀρεινὰ καὶ ὑπέρκειται μέχρι τινὸς τῷ
and the mountainous(-parts) also it-lies-above to some(-extent) the
θέματι Ἰστρίας, πλησιάζει δὲ πρὸς τὴν Τζέντινα καὶ τὴν
theme of-Istria it-borders and at — Tzentina and —
Χλέβενα τῇ χώρᾳ Σερβλίας· ἡ γὰρ χώρα Σερβλίας
Chlebena on-the land of-Serbia the for land of-Serbia
εἰς κεφαλὴν μέν ἐστι πασῶν τῶν λοιπῶν χωρῶν, πρὸς
at (the)-head indeed is of-all the other lands toward
ἄρκτον δὲ πλησιάζει τῇ Χρωβατίᾳ, πρὸς μεσημβρίαν
(the)-north and it-borders — on-Croatia toward (the)-south
δὲ τῇ Βουλγαρίᾳ. ἀφ' οὗ δὲ κατεσκήνωσαν οἱ
and — on-Bulgaria from (the-time)-when and settled the
εἰρημένοι Σκλάβοι, κατεκράτησαν πᾶσαν τὴν περίχωρον
said Slavs they-took-control-of all the surrounding-country

Δελματίας. ἐργάζοντο δὲ τὰ κάστρα τῶν Ῥωμαίων τὰς
of-Dalmatia worked and the fortresses of-the Romans the
νήσους, καὶ ἔζουν ἐξ αὐτῶν· ὑπὸ δὲ τῶν Παγανῶν καθ'
islands and lived from them by and the Pagani by
ἑκάστην ἐπαιχμαλωτιζόμενοι καὶ ἀφανιζόμενοι κατέλιπον
each(-day) being-taken-captive and being-destroyed they-abandoned
τὰς τοιαύτας νήσους, βουλόμενοι εἰς τὴν ἤπειρον ἐργάζεσθαι.
the such islands wishing on the mainland to-work
ἐκωλύοντο δὲ παρὰ τῶν Χρωβάτων· οὔπω γὰρ ἐτέλουν
they-were-hindered and by the Croats not-yet for they-paid
αὐτοῖς φόρους, ἀλλὰ πάντα ἅπερ ἀρτίως παρέχουσι τοῖς
to-them tributes but all which now they-furnish to-the
Σκλάβοις, τῷ στρατηγῷ ταῦτα παρεῖχον. ἀδυνάτως δὲ
Slavs to-the general these(-things) they-furnished unable and
ἔχοντες τοῦ ζῆν προσῆλθον Βασιλείῳ τῷ ἀοιδίμῳ βασιλεῖ,
being of-the to-live they-came-to Basil the celebrated emperor
ἀναδιδάξαντες τὰ εἰρημένα πάντα, ὁ οὖν ἀοίδιμος ἐκεῖνος
having-informed(-him) the said-things all the then celebrated that
βασιλεὺς Βασίλειος προετρέψατο πάντα τὰ διδόμενα
emperor Basil urged all the(-things) given
τῷ στρατηγῷ δίδοσθαι παρ' αὐτῶν τοῖς Σκλάβοις καὶ
to-the general to-be-given by them to-the Slavs and
εἰρηνικῶς ζῆν μετ' αὐτῶν, καὶ βραχύ τι δίδοσθαι τῷ
peacefully to-live with them and little something to-be-given to-the
στρατηγῷ, ἵνα μόνον δείκνυται ἡ πρὸς τοὺς βασιλεῖς
general so-that only may-be-shown the toward the emperors
τῶν Ῥωμαίων καὶ πρὸς τὸν στρατηγὸν αὐτῶν ὑποταγὴ
of-the Romans and toward the general their subjection
καὶ δούλωσις. καὶ ἔκτοτε ἐγένοντο πάντα τὰ τοιαῦτα
and servitude and from-then became all the such
κάστρα ὑπόφορα τῶν Σκλάβων, καὶ τελοῦσιν αὐτοῖς
fortresses tributary of-the Slavs and pay to-them

πάκτα, τὸ μὲν κάστρον ἡ Ἀσπάλαθος νομίσματα σ΄, τὸ
tributes the indeed fortress — Aspalathos nomismata 200 the
κάστρον τὸ Τετραγγούριν νομίσματα ρ΄, τὸ κάστρον τὰ
fortress — Tetrangourin nomismata 100 the fortress —
Διάδωρα ρι΄, τὸ κάστρον τὰ Ὄψαρα ρ΄, τὸ κάστρον ἡ
Diadora 110 the fortress — Opsara 100 the fortress —
Ἄρβη ρ΄, τὸ κάστρον ἡ Βέκλα ρ΄, ὡς ὁμοῦ νομίσματα
Arbe 100 the fortress — Vekla 100 as together nomismata
ψι΄, ἐκτὸς οἴνου καὶ ἑτέρων διαφόρων εἰδῶν· ταῦτα
710 apart-from wine and other various kinds these
γὰρ πλείονά εἰσιν ὑπὲρ τὰ νομίσματα. τὸ δὲ κάστρον
for more are than the nomismata the and fortress
τὸ Ῥαούσιον μέσον τῶν δύο χωρῶν πρόσκειται, τῶν
— Ragusa between the two lands lies the
τε Ζαχλούμων καὶ τῆς Τερβουνίας· ἔχουσι δὲ καὶ τοὺς
both Zachlumi and — Terbounia they-have and also the
ἀμπελῶνας αὐτῶν εἰς ἀμφοτέρας τὰς χώρας, καὶ τελοῦσι
vineyards their in both the lands and they-pay
πρὸς μὲν τὸν ἄρχοντα τῶν Ζαχλούμων νομίσματα λς΄,
to indeed the prince of-the Zachlumi nomismata 36
πρὸς δὲ τὸν ἄρχοντα Τερβουνίας νομίσματα λς΄.
to and the prince of-Terbounia nomismata 36

The Croats came from White Croatia and, at Heraclius' bidding, drove the Avars out of Dalmatia. Heraclius had them baptized by priests from Rome. They swore to Saint Peter, by the pope's ordinance, never to attack a foreign land, so their ships sail only for trade. They never submitted to Bulgaria. Baptized Croatia once fielded sixty thousand horse and a hundred thousand foot, before civil strife reduced it. White Croatia, still unbaptized, is weaker and far from the sea.

περὶ τῶν Χρωβάτων, καὶ ἧς νῦν οἰκοῦσι χώρας.
concerning the Croats and which now they-inhabit land
Ὅτι οἱ Χρωβάτοι οἱ εἰς τὰ Δελματίας νῦν κατοικοῦντες
that the Croats those in the of-Dalmatia now dwelling
μέρη ἀπὸ τῶν ἀβαπτίστων Χρωβάτων καὶ τῶν ἄσπρων
parts from the unbaptized Croats and the white
ἐπονομαζομένων κατάγονται, οἵτινες Τουρκίας μὲν ἐκεῖθεν
called are-descended who of-Turkey indeed beyond
Φραγγίας δὲ πλησίον κατοικοῦσι, καὶ συνοροῦσι Σκλάβοις
of-Frankland and near dwell and border on-Slavs
τοῖς ἀβαπτίστοις Σέρβλοις. τὸ δὲ Χρωβάτοι τῇ τῶν
the unbaptized Serbs the and Croats in-the of-the
Σκλάβων διαλέκτῳ ἑρμηνεύεται, τουτέστιν οἱ τὴν πολλὴν
Slavs dialect is-interpreted that-is those the much
χώραν κατέχοντες. οἱ δὲ αὐτοὶ Χρωβάτοι εἰς τὸν
land holding the and same Croats to the
βασιλέα τῶν Ῥωμαίων Ἡράκλειον πρόσφυγες παρεγένοντο
emperor of-the Romans Heraclius (as)-refugees came
πρὸ τοῦ τοὺς Σέρβλους προσφυγεῖν εἰς τὸν αὐτὸν
before the the Serbs to-take-refuge to the same
βασιλέα Ἡράκλειον, κατὰ τὸν καιρὸν ὃν οἱ Ἀβάρεις
emperor Heraclius at the time in-which the Avars
πολεμήσαντες ἀπ᾽ ἐκεῖσε τοὺς Ῥωμάνους ἐναπεδίωξαν,
having-warred from there the Romani drove-out

οὓς ὁ βασιλεὺς Διοκλητιανὸς ἀπὸ Ῥώμης ἀγαγὼν
whom the emperor Diocletian from Rome having-brought
ἐκεῖσε κατεσκήνωσε· διὸ καὶ Ῥωμᾶνοι ἐκλήθησαν διὰ
there settled therefore also Romani they-were-called because-of
τὸ ἀπὸ Ῥώμης μετοίκους αὐτοὺς γενέσθαι ἐν ταῖς
the from Rome settlers them to-become in the
τοιαύταις χώραις, ἤγουν τῆς νῦν καλουμένης Χρωβατίας
such lands that-is of-the now called Croatia
καὶ Σερβλίας. παρὰ δὲ τῶν Ἀβάρων ἐκδιωχθέντες οἱ
and Serbia by and the Avars having-been-driven-out the
αὐτοὶ Ῥωμᾶνοι ἐν ταῖς ἡμέραις τοῦ αὐτοῦ βασιλέως
same Romani in the days of-the same emperor
Ῥωμαίων Ἡρακλείου, αἱ τούτων ἔρημοι καθεστήκασι
of-(the)-Romans Heraclius the their deserted had-become
χῶραι. προστάξει οὖν τοῦ βασιλέως Ἡρακλείου οἱ αὐτοὶ
lands by-(the)-command then of-the emperor Heraclius the same
Χρωβάτοι καταπολεμήσαντες καὶ ἀπὸ τῶν ἐκεῖσε τοὺς
Croats having-warred-down and from the there the
Ἀβάρους ἐκδιώξαντες, Ἡρακλείου τοῦ βασιλέως κελεύσει
Avars having-driven-out of-Heraclius the emperor by-(the)-order
ἐν τῇ αὐτῇ τῶν Ἀβάρων χώρᾳ, εἰς ἣν νῦν οἰκοῦσι,
in the same of-the Avars land in which now they-dwell
κατεσκήνωσαν· εἶχον δὲ οἱ αὐτοὶ Χρωβάτοι τῷ τότε καιρῷ
settled had and the same Croats at-the then time
ἄρχοντα τὸν πατέρα τοῦ Ποργά. ὁ δὲ βασιλεὺς Ἡράκλειος
(as)-prince the father — of-Porgas the and emperor Heraclius
ἀποστείλας καὶ ἀπὸ Ῥώμης ἀγαγὼν ἱερεῖς, καὶ ἐξ αὐτῶν
having-sent also from Rome having-brought priests and of them
ποιήσας ἀρχιεπίσκοπον καὶ ἐπίσκοπον καὶ πρεσβυτέρους
having-made (an)-archbishop and (a)-bishop and presbyters

καὶ διακόνους, τοὺς Χρωβάτους ἐβάπτισεν· εἶχον δὲ τῷ
and deacons the Croats baptized had and at-the
τότε καιρῷ οἱ τοιοῦτοι Χρωβάτοι ἄρχοντα τὸν Ποργά.
then time the such Croats (as)-prince — Porgas
Ὅτι ἡ τοιαύτη χώρα εἰς ἣν οἱ Χρωβάτοι κατεσκηνώθησαν
that the such land in which the Croats were-settled
ἐξ ἀρχῆς ὑπὸ τὴν ἐξουσίαν ἦν τοῦ βασιλέως τῶν
from (the)-beginning under the authority was of-the emperor of-the
Ῥωμαίων, ἐξ οὗ καὶ παλάτια καὶ ἱπποδρόμια τοῦ
Romans from which also palaces and hippodromes of-the
βασιλέως Διοκλητιανοῦ ἐν τῇ τῶν αὐτῶν Χρωβάτων χώρᾳ
emperor Diocletian in the of-the same Croats land
μέχρι τῆς νῦν περισώζονται εἰς τὸ κάστρον Σαλώνας,
until the now survive at the fortress of-Salona
πλησίον τοῦ κάστρου Ἀσπαλάθου.
near the fortress of-Aspalathos
Ὅτι οὗτοι οἱ βαπτισμένοι Χρωβάτοι ἔξωθεν τῆς ἰδίας
that these the baptized Croats outside of-the own
αὐτῶν χώρας πολεμεῖν ἀλλοτρίοις οὐ βούλονται· χρησμὸν
their land to-war-upon strangers not wish (an)-oracle
γάρ τινα καὶ ὁρισμὸν ἔλαβον παρὰ τοῦ πάπα Ῥώμης
for some and ordinance they-received from the pope of-Rome
τοῦ ἐπὶ τοῦ Ἡρακλείου τοῦ βασιλέως Ῥωμαίων
the(-one) under — Heraclius the emperor of-(the)-Romans
ἀποστείλαντος ἱερεῖς καὶ τούτους βαπτίσαντος. καὶ γὰρ
having-sent priests and them having-baptized and for
οὗτοι οἱ Χρωβάτοι, μετὰ τὸ αὐτοὺς βαπτισθῆναι, συνθήκας
these the Croats after the them to-be-baptized covenants
καὶ ἰδιόχειρα ἐποιήσαντο καὶ πρὸς τὸν ἅγιον Πέτρον
and handwritten(-pledges) made also to the holy Peter
τὸν ἀπόστολον ὅρκους βεβαίους καὶ ἀσφαλεῖς, ἵνα μηδέποτε
the apostle oaths firm and secure that never

εἰς ἀλλοτρίαν χώραν ἀπέλθωσι καὶ πολεμήσωσιν, ἀλλὰ
into another's land they-go-away and make-war but
μᾶλλον εἰρηνεύειν μετὰ πάντων τῶν βουλομένων, λαβόντες
rather to-be-at-peace with all those wishing(-it) having-received
καὶ παρὰ τοῦ αὐτοῦ πάπα Ῥώμης εὐχὴν τοιάνδε ὡς
also from the same pope of-Rome (a)-blessing such that
εἴ τινες ἄλλοι ἐθνικοὶ κατὰ τῆς τῶν αὐτῶν Χρωβάτων
if any other heathens against the of-the same Croats
χώρας ἐπέλθωσιν καὶ πόλεμον ἐπενέγκωσιν, ἵνα ὁ τῶν
land come and war bring that the of-the
Χρωβάτων θεὸς προσπολεμεῖ καὶ προΐσταται, καὶ νίκας
Croats God may-fight-for(-them) and protect(-them) and victories
αὐτοῖς Πέτρος ὁ τοῦ Χριστοῦ μαθητὴς προξενεῖ· μετὰ δὲ
for-them Peter the — of-Christ disciple procure after and
χρόνους πολλοὺς ἐν ταῖς ἡμέραις Τερπημέρη τοῦ ἄρχοντος,
years many in the days of-Terpimir the prince
τοῦ πατρὸς τοῦ ἄρχοντος Κρασημέρη, ἐλθὼν ἀπὸ
the father of-the prince Krasimir having-come from
Φραγγίας τῆς μεταξὺ Χρωβατίας καὶ Βενετίας ἀνήρ
Frankland the(-one) between Croatia and Venice (a)-man
τις τῶν πάνυ μὲν εὐλαβῶν, Μαρτῖνος ὀνόματι, σχῆμα
certain of-the very indeed devout Martin by-name (a)-habit
δὲ κοσμικὸν περιβεβλημένος, ὃν καὶ λέγουσιν οἱ αὐτοὶ
and lay having-put-on whom also say the same
Χρωβάτοι θαύματα ἱκανὰ ποιῆσαι· ἀσθενὴς δὲ ὢν ὁ
Croats miracles considerable to-have-done infirm and being the
τοιοῦτος εὐλαβὴς ἀνὴρ καὶ τοὺς πόδας ἠκρωτηριασμένος,
such devout man and the feet maimed
ὥστε ὑπὸ τεσσάρων καὶ βαστάζεσθαι καὶ περιφέρεσθαι
so-that by four both to-be-carried and to-be-carried-about
ὅπου δ' ἂν καὶ βούληται, τὴν τοιαύτην τοῦ ἁγιωτάτου
wherever and — also he-might-wish the such of-the most-holy

πάπα ἐντολὴν τοῖς αὐτοῖς Χρωβάτοις διατηρεῖν μέχρι
pope command to-the same Croats to-keep until
τέλους ζωῆς αὐτῶν ἐπεθέσπισεν, ἐπευξάμενος δὲ καὶ αὐτὸς
(the)-end of-life their he-decreed having-prayed and also he
αὐτοῖς τὴν ὁμοίαν τοῦ πάπα εὐχήν. διὰ τοῦτο οὔτε
for-them the like of-the pope blessing because-of this neither
αἱ σαγῆναι τῶν τοιούτων Χρωβάτων οὔτε αἱ κοντοῦραι
the galleys of-the such Croats nor the cutters
οὐδέποτε κατά τινος πρὸς πόλεμον ἀπέρχονται, εἰ μὴ ἄρα
ever against anyone for war go-away if not then
τις κατ᾽ αὐτῶν ἐπέλθοι. πλὴν διὰ τῶν τοιούτων πλοίων
anyone against them should-come but through the such ships
ἀπέρχονται οἱ βουλόμενοι τῶν Χρωβάτων διοικεῖν ἐμπόρια,
go-away those wishing of-the Croats to-carry-on trade
ἀπὸ κάστρου εἰς κάστρον περιερχόμενοι τήν τε Παγανίαν
from fortress to fortress going-round — both Pagania
καὶ τὸν κόλπον τῆς Δελματίας καὶ μέχρι Βενετίας.
and the gulf — of-Dalmatia and as-far-as Venice
Ὅτι ὁ ἄρχων Χρωβατίας ἐξ ἀρχῆς, ἤγουν ἀπὸ
that the prince of-Croatia from (the)-beginning that-is from
τῆς βασιλείας Ἡρακλείου τοῦ βασιλέως, δουλικῶς ἐστὶν
the reign of-Heraclius the emperor in-servitude is
ὑποτεταγμένος τῷ βασιλεῖ Ῥωμαίων, καὶ οὐδέποτε τῷ
subjected to-the emperor of-(the)-Romans and never to-the
ἄρχοντι Βουλγαρίας καθυπετάγη. ἀλλ᾽ οὐδὲ Βούλγαρος
prince of-Bulgaria was-subjected but not-even (a)-Bulgarian
ἀπῆλθε πρὸς πόλεμον κατὰ τῶν Χρωβάτων, εἰ μὴ Μιχαὴλ ὁ
went-away for war against the Croats if not Michael the
ἄρχων Βουλγαρίας, ὁ Βορώσης, ἀπελθὼν καὶ πολεμήσας
prince of-Bulgaria — Boris having-gone-away and having-warred
αὐτοῖς καὶ μηδὲν ἀνύσαι δυνηθεὶς εἰρήνευσε μετ᾽ αὐτῶν,
against-them and nothing to-accomplish having-been-able made-peace with them

ξενιάσας τοὺς Χρωβάτους καὶ ξενιασθεὶς παρὰ τῶν
having-given-gifts-to the Croats and having-received-gifts from the
Χρωβάτων. ἀλλ᾽ οὐδὲ πώποτε οἱ Χρωβάτοι οὗτοι τοῖς
Croats but not-even ever the Croats these to-the
Βουλγάροις πάκτον δεδώκασιν, εἰ μὴ πολλάκις ἀμφότεροι
Bulgarians tribute have-given if not often both
ξένιά τινα πρὸς ἀλλήλους παρέσχον φιλοφρονήσεως ἕνεκα.
gifts some to each-other furnished of-friendliness for-the-sake
Ὅτι ἡ βαπτισμένη Χρωβατία εἰσὶ κάστρα οἰκούμενα
that the baptized Croatia there-are fortresses inhabited
ἡ Νόνα, τὸ Βελόγραδον, τὸ Βελίτζειν, τὸ Σκόρδονα, τὸ
— Nona — Belogradon — Belitzein — Skordona —
Χλεβένα, τὸ Στόλπον, τὸ Τενήν, τὸ Κόρι, τὸ Κλαβώκα.
Chlebena — Stolpon — Tenen — Kori — Klaboka
Ὅτι ἡ βαπτισμένη Χρωβατία ἐκβάλλει καβαλλαρικὸν ἕως
that the baptized Croatia puts-out cavalry up-to
τῶν ξ΄ χιλιάδων, πεζικὸν δὲ ἕως χιλιάδας ρ΄ καὶ σαγήνας
the 60 thousands infantry and up-to thousands 100 and galleys
μέχρι τῶν π΄ καὶ κοντούρας μέχρι τῶν ρ΄. καὶ αἱ μὲν
up-to the 80 and cutters up-to the 100 and the indeed
σαγῆναι ἔχουσιν ἀνὰ ἀνδρῶν μ΄, αἱ δὲ κονδοῦραι ἀνὰ
galleys have each of-men 40 the and cutters each
ἀνδρῶν κ΄, αἱ δὲ μικρότεραι κονδοῦραι ἀνὰ ἀνδρῶν ι΄.
of-men 20 the and smaller cutters each of-men 10
Ὅτι τὴν πολλὴν ταύτην δύναμιν καὶ τὸ τοῦ λαοῦ πλῆθος
that the great this force and the of-the people multitude
εἶχεν ἡ Χρωβατία μέχρι τοῦ ἄρχοντος Κρασημέρη, κἀκείνου
had — Croatia until the prince Krasimir and-that-one
μὲν τελευτήσαντος, τοῦ δὲ υἱοῦ αὐτοῦ Μιροσθλάβου
indeed having-died the and son his Miroslav
ἄρξαντος ἔτη τέσσαρα καὶ ὑπὸ τοῦ Πριβουνία βοεάνου
having-ruled years four and by — Pribounias ban

ἀναιρεθέντος, καὶ διχονοιῶν καὶ πολλῶν διχοστασιῶν εἰς
having-been-killed and dissensions and many divisions in
τὴν χώραν γενομένων, ἠλάττωται καὶ τὸ καβαλλαρικὸν
the land having-arisen have-been-diminished both the cavalry
καὶ τὸ πεζικὸν καὶ αἱ σαγῆναι καὶ αἱ κονδοῦραι τῆς ἐξουσίας
and the infantry and the galleys and the cutters of-the dominion
τῶν Χρωβάτων. ἀρτίως δὲ ἔχει σαγήνας λ΄, κονδούρας
of-the Croats now and it-has galleys 30 cutters
μεγάλας καὶ μικράς, καὶ καβαλλαρικὸν καὶ πεζικόν.
great and small and cavalry and infantry
Ὅτι ἡ μεγάλη Χρωβατία καὶ ἡ ἄσπρη ἐπονομαζομένη
that the great Croatia and the white called
ἀβάπτιστος τυγχάνει μέχρι τῆς σήμερον, καθὼς καὶ οἱ
unbaptized is until the today as also the
πλησιάζοντες αὐτὴν Σέρβλοι. ὀλιγώτερον καβαλλαρικὸν
bordering-on it Serbs less cavalry
ἐκβάλλουσιν, ὁμοίως καὶ πεζικὸν παρὰ τὴν βαπτισμένην
put-out likewise also infantry than the baptized
Χρωβατίαν ὡς συνεχέστερον πραιδευόμενοι παρά τε τῶν
Croatia as more-constantly being-plundered by both the
Φράγγων καὶ Τούρκων καὶ Πατζινακιτῶν. ἀλλ᾽ οὐδὲ
καὶ περιεχούσης τὴν ἀποστασίαν τῶν προρρηθέντων
and containing the revolt of-the aforesaid
Σκλάβων καὶ πρὸς τὰς βασιλικὰς προστάξεις δυσπείθειαν
Slavs and toward the imperial commands reluctance
ἢ μᾶλλον ἀπείθειαν, ἐδέξατο ὁ αὐτὸς πρωτοσπαθάριος
or rather disobedience received the same protospatharius
Κρινίτης ἵνα, ἐπεὶ εἰς τοσαύτην ἤλασαν ἀποστασίαν καὶ
Krinites that since to so-great they-drove revolt and
ἀπείθειαν, ἐκστρατεύσῃ κατ᾽ αὐτῶν καὶ καταπολεμήσῃ καὶ
disobedience he-march against them and war-down and
ὑποτάξῃ καὶ ἐξολοθρεύσῃ αὐτούς. ἀρξάμενος οὖν πολεμεῖν
subject and destroy them having-begun then to-war-upon
αὐτοὺς ἀπὸ μηνὸς Μαρτίου, καὶ κατακαύσας τὰ θέρη
them from (the)-month of-March and having-burned the harvests
αὐτῶν καὶ ληϊσάμενος πᾶσαν τὴν γῆν αὐτῶν, ἔσχεν αὐτοὺς
their and having-plundered all the land their he-had them
ἀνθισταμένους καὶ ἀντέχοντας μέχρι μηνὸς Νοεμβρίου·
resisting and holding-out until (the)-month of-November
ἀπὸ τότε δὲ ἰδόντες τὴν ἑαυτῶν ἐξολόθρευσιν ᾐτήσαντο
from then and having-seen the their-own destruction they-asked
λόγον τοῦ ὑποταγῆναι αὐτοῖς καὶ τυχεῖν συμπαθείας
(a)-promise of-the to-be-subjected to-them and to-obtain compassion

ὑπὲρ ὧν πρώην ἐπλημμέλησαν. ὁ οὖν προρρηθεὶς
for (the-things)-which formerly they-had-offended the then aforesaid
πρωτοσπαθάριος καὶ στρατηγὸς ὁ Κρινίτης ἐξέθετο αὐτοῖς
protospatharius and general — Krinites set-out-for them
πάκτα πλείονα ὧν ἐτέλουν, τοῖς μὲν Μιληγγοῖς ἀπὸ
tributes greater than-what they-paid on-the indeed Milingoi beyond
τῶν ξ΄ νομισμάτων ὧν πρότερον ἐτέλουν, νομίσματα φμ΄,
the 60 nomismata which formerly they-paid nomismata 540
ὡς εἶναι τὸ πᾶν πάκτον αὐτῶν νομίσματα χ΄, τοῖς δὲ
so-that to-be the whole tribute their nomismata 600 on-the and
Ἐζερίταις ἀπὸ τῶν τ΄ νομισμάτων ὧν πρότερον ἐτέλουν,
Ezeritai beyond the 300 nomismata which formerly they-paid
ἕτερα νομίσματα τ΄, ὡς εἶναι τὸ πᾶν πάκτον αὐτῶν
other nomismata 300 so-that to-be the whole tribute their
νομίσματα χ΄, ἅτινα καὶ ἀπῄτησε καὶ εἰσεκόμισεν ὁ αὐτὸς
nomismata 600 which also exacted and brought-in the same
πρωτοσπαθάριος Κρινίτης ἐν τῷ θεοφυλάκτῳ κοιτῶνι. τοῦ
protospatharius Krinites into the God-guarded bedchamber the
δὲ πρωτοσπαθαρίου Κρινίτου ἐν τῷ θέματι μετατεθέντος
and protospatharius Krinites to the theme having-been-transferred
Ἑλλάδος, καὶ τοῦ πρωτοσπαθαρίου Βάρδα τοῦ Πλατυπόδη
of-Hellas and the protospatharius Bardas the Platypodes
προβληθέντος στρατηγοῦ ἐν Πελοποννήσῳ, καὶ τῆς ἀταξίας
having-been-appointed general in Peloponnese and the disorder
γενομένης καὶ στάσεως παρὰ αὐτοῦ τοῦ πρωτοσπαθαρίου
having-arisen and sedition by the-very the protospatharius
Βάρδα τοῦ Πλατυπόδη καὶ τῶν ὁμοφρόνων αὐτοῦ
Bardas the Platypodes and the like-minded his
πρωτοσπαθαρίων καὶ ἀρχόντων, καὶ τὸν πρωτοσπαθάριον
protospatharii and officers and the protospatharius
Λέοντα τὸν Ἀγέλαστον ἀποδιωξάντων ἀπὸ τοῦ θέματος,
Leo the Agelastos having-driven-out from the theme

καὶ εὐθέως γενομένης καὶ τῆς τῶν Σκλαβησιανῶν
and at-once having-come-about also the of-the Sklabesianoi
ἐπιθέσεως κατὰ τοῦ αὐτοῦ θέματος, ἀπέστειλαν οἱ αὐτοὶ
attack against the same theme sent the same
Σκλάβοι, οἵ τε Μιληγγοὶ καὶ οἱ Ἐζερῖται, πρὸς τὸν κῦριν
Slavs the both Milingoi and the Ezeritai to the lord
Ῥωμανὸν τὸν βασιλέα, ἐξαιτούμενοι καὶ παρακαλοῦντες
Romanos the emperor asking and begging
τοῦ συμπαθηθῆναι αὐτοῖς τὰς προσθήκας τῶν πάκτων
of-the to-be-remitted to-them the additions of-the tributes
καὶ τελεῖν αὐτοὺς καθὼς καὶ πρότερον ἐτέλουν. ἐπεὶ δέ,
and to-pay them as also before they-paid since and
καθὼς προείρηται, εἰσῆλθον οἱ Σκλαβησιανοὶ ἐν τῷ
as has-been-said-before came the Sklabesianoi into the
θέματι Πελοποννήσου, δεδιὼς ὁ βασιλεὺς ἵνα μὴ καὶ αὐτοὶ
theme of-Peloponnese fearing the emperor that not also they
προστεθέντες τοῖς Σκλάβοις παντελῆ ἐξολόθρευσιν τοῦ
having-been-added to-the Slavs complete destruction of-the
αὐτοῦ θέματος ἐργάσωνται, ἐποίησεν αὐτοῖς χρυσοβούλλιον
same theme bring-about made for-them (a)-chrysobull
ἵνα τελῶσι τὰ πάκτα ὡς καὶ πρότερον, τοὺς μὲν
that they-pay the tributes as also before the indeed
Μιληγγοὺς ξ′ νομίσματα, τοὺς δὲ Ἐζερίτας νομίσματα τ′.
Milingoi 60 nomismata the and Ezeritai nomismata 300
αὕτη οὖν ἐστὶν ἡ αἰτία τῆς προσθήκης καὶ τῆς ἐκκοπῆς
this then is the cause of-the addition and of-the cutting-off
τῶν πάκτων τῶν Μιληγγῶν καὶ τῶν Ἐζεριτῶν.
of-the tributes of-the Milingoi and of-the Ezeritai
Ἰστέον ὅτι οἱ τοῦ κάστρου Μαΐνης οἰκήτορες οὐκ εἰσὶν
(one)-must-know that the of-the fortress of-Maina inhabitants not are
ἀπὸ τῆς γενεᾶς τῶν προρρηθέντων Σκλάβων, ἀλλ᾽ ἐκ
from the race of-the aforesaid Slavs but from

τῶν παλαιοτέρων Ῥωμαίων, οἳ καὶ μέχρι τοῦ νῦν παρὰ
the older Romans who also until the now by
τῶν ἐντοπίων Ἕλληνες προσαγορεύονται διὰ τὸ ἐν τοῖς
the locals Hellenes are-called because-of the in the
προπαλαιοῖς χρόνοις εἰδωλολάτρας εἶναι καὶ προσκυνητὰς
very-ancient times idolaters to-be and worshipers
τῶν εἰδώλων κατὰ τοὺς παλαιοὺς Ἕλληνας· οἵτινες
of-the idols like the ancient Hellenes who
ἐπὶ τῆς βασιλείας τοῦ ἀοιδίμου Βασιλείου βαπτισθέντες
under the reign of-the celebrated Basil having-been-baptized
Χριστιανοὶ γεγόνασιν. ὁ δὲ τόπος ἐν ᾧ οἰκοῦσίν ἐστιν
Christians became the and place in which they-dwell is
ἄνυδρος καὶ ἀπρόσοδος ἐλαιοφόρος δέ· ὅθεν καὶ τὴν
waterless and inaccessible olive-bearing but whence also the
παραμυθίαν ἔχουσι. διάκειται δὲ ὁ τοιοῦτος τόπος εἰς
consolation they-have lies and the such place on
ἄκραν τοῦ Μαλέα, ἤγουν ἐκεῖθεν τοῦ Ἐζεροῦ πρὸς
(the)-point — of-Malea that-is beyond — of-Ezeron toward
παραθαλασσίαν. διὰ δὲ τὸ τελείως ὑποτεταγμένους εἶναι
(the)-coast because-of and the completely subjected to-be
αὐτοὺς καὶ ἄρχοντα παρὰ τοῦ στρατηγοῦ δέχεσθαι καὶ
them and (a)-headman from the general to-receive and
πειθαρχεῖν καὶ ὑπείκειν ταῖς τοῦ στρατηγοῦ προστάξεσιν,
to-obey and to-yield to-the of-the general commands
παρέχουσι πάκτον ἐκ παλαιτάτου χρόνου νομίσματα υ΄.
they-furnish (a)-tribute from most-ancient time nomismata 400
Ἰστέον ὅτι ἡ τῆς Καππαδοκίας στρατηγὶς τὸ
(one)-must-know that the — of-Cappadocia command in-the
παλαιὸν τοῦρμα ἦν τῆς τῶν Ἀνατολικῶν στρατηγίδος.
old(-days) (a)-tourma was of-the of-the Anatolikoi command

Ἰστέον ὅτι ἡ Κεφαληνίας στρατηγὶς ἤγουν τὰ νησία
(one)-must-know that the of-Kephalenia command that-is the islets
τοῦρμα ἦν τὸ παλαιὸν τῆς στρατηγίδος Λογουβαρδίας· ἐπὶ
(a)-tourma was in-the old(-days) of-the command of-Lombardy under
δὲ Λέοντος τοῦ φιλοχρίστου δεσπότου γέγονε στρατηγίς.
and Leo the Christ-loving lord became (a)-command
Ἰστέον ὅτι ἡ Καλαβρίας στρατηγὶς δουκάτον ἦν τὸ
(one)-must-know that the of-Calabria command (a)-duchy was in-the
παλαιὸν τῆς στρατηγίδος Σικελίας.
old(-days) of-the command of-Sicily
Ἰστέον ὅτι ἡ τοῦ Χαρσιανοῦ στρατηγὶς τοῦρμα ἦν
(one)-must-know that the — of-Charsianon command (a)-tourma was
τὸ παλαιὸν τῆς τῶν Ἀρμενιακῶν στρατηγίδος.
in-the old(-days) of-the of-the Armeniakoi command
Ἰστέον ὅτι ἐπὶ Λέοντος τοῦ φιλοχρίστου δεσπότου
(one)-must-know that under Leo the Christ-loving lord
ἀπὸ τοῦ θέματος τῶν Βουκελλαρίων εἰς τὸ Καππαδοκῶν
from the theme of-the Boukellarioi to the of-Cappadocians
θέμα μετετέθησαν ταῦτα τὰ βάνδα, ἤτοι ἡ τοποτηρησία
theme were-transferred these the banda that-is the topoteresia
Βάρετας, ἡ τοποτηρησία Βαλβαδῶνος, ἡ τοποτηρησία
of-Bareta the topoteresia of-Balbadon the topoteresia
Ἀσπονας καὶ ἡ τοποτηρησία Ἀκαρκοῦς· καὶ ἀπὸ τοῦ
of-Aspona and the topoteresia of-Akarkous and from the
θέματος τῶν Ἀνατολικῶν εἰς τὸ Καππαδοκῶν θέμα
theme of-the Anatolikoi to the of-Cappadocians theme
μετετέθησαν ταῦτα τὰ βάνδα, ἤτοι ἡ τοποτηρησία τῆς
were-transferred these the banda that-is the topoteresia —
Εὐδοκιάδος, ἡ τοποτηρησία τοῦ ἁγίου Ἀγαπητοῦ, ἡ
of-Eudokias the topoteresia of-the holy Agapetos the
τοποτηρησία Ἀφραζείας· καὶ ἐγένοντο ταῦτα τὰ ἑπτὰ
topoteresia of-Aphrazeia and became these the seven

βάνδα, ἤτοι τὰ τῶν Βουκελλαρίων τέσσαρα καὶ τρία τῶν
banda that-is the of-the Boukellarioi four and three of-the
Ἀνατολικῶν, τοῦρμα μία ἡ νῦν τὰ Κόμματα λεγομένη.
Anatolikoi tourma one the(-one) now the Kommata called
Ἰστέον ὅτι ἐπὶ Λέοντος τοῦ φιλοχρίστου δεσπότου ἀπὸ
(one)-must-know that under Leo the Christ-loving lord from
τοῦ θέματος τῶν Βουκελλαρίων εἰς τὸ θέμα Χαρσιανοῦ
the theme of-the Boukellarioi to the theme of-Charsianon
μετετέθησαν ταῦτα τὰ βάνδα, ἤτοι ἡ τοποτηρησία τοῦ
were-transferred these the banda that-is the topoteresia —
Μυριοκεφάλου, ἡ τοποτηρησία τοῦ τιμίου Σταυροῦ καὶ ἡ
of-Myriokephalon the topoteresia of-the precious Cross and the
τοποτηρησία Βερινουπόλεως, καὶ ἐγένοντο τοῦρμα ἡ νῦν
topoteresia of-Berinoupolis and became (a)-tourma the(-one) now
Σανιάνα λεγομένη. καὶ ἀπὸ τοῦ θέματος τῶν Ἀρμενιακῶν εἰς
Saniana called and from the theme of-the Armeniakoi to
τὸ τοῦ Χαρσιανοῦ θέμα μετετέθησαν ταῦτα τὰ βάνδα, ἤτοι ἡ
the — of-Charsianon theme were-transferred these the banda that-is the
τοῦ Κομοδρόμου τοποτηρησία, ἡ τοποτηρησία Ταβίας, καὶ
— of-Komodromos topoteresia the topoteresia of-Tabia and
εἰς τὴν τοῦρμαν τοῦ Χαρσιανοῦ τὴν εἰρημένην προσετέθησαν.
to the tourma — of-Charsianon the said were-added
ἀπὸ δὲ τοῦ Καππαδοκῶν εἰς τὸ τοῦ Χαρσιανοῦ θέμα ταῦτα
from and the of-Cappadocians to the — of-Charsianon theme these
τὰ βάνδα μετετέθησαν, ἤτοι ἡ τοῦρμα Κασῆς ἐξ ὑλοκλήρου
the banda were-transferred that-is the tourma of-Kase in entirety
καὶ ἡ τοποτηρησία Νύσσης μετὰ τῆς Καισαρείας.
and the topoteresia of-Nyssa with — Caesarea
Ἰστέον ὅτι τοῖς παρελθοῦσι χρόνοις τὸ τοῦ Χοζάνου
(one)-must-know that in-the past times the — of-Chozanon
θέμα ὑπὸ τῶν Σαρακηνῶν ἦν. ὁμοίως καὶ τὸ τοῦ
theme under the Saracens was likewise also the —

Ἀσμοσάτου θέμα καὶ αὐτὸ ὑπὸ τῶν Σαρακηνῶν ἦν. τὸ δὲ
of-Asmosaton theme also it under the Saracens was — and
Χανζὶτ καὶ ἡ Ῥωμανόπολις κλεισοῦρα τῶν Μελιτηνιατῶν
Chanzit and — Romanopolis (the)-clisura of-the Melitenians
ὑπῆρχον, καὶ ἀπὸ τοῦ ὄρους τοῦ Φατιλάνου πάντα τὰ
were and from the mountain — of-Phatilanos all the(-parts)
ἐκεῖθεν τῶν Σαρακηνῶν ὑπῆρχεν, τὸ δὲ Τεκῆς ἦν τοῦ
beyond of-the Saracens were — and Tekes was —
Μανουήλ. ἡ δὲ Κάμαχα ἡ τοῦρμα ἄκρα Κολωνίας
of-Manuel — and Kamacha the tourma (the)-extremity of-Koloneia
ἦν, ἡ δὲ τῆς Κελτζινῆς τοῦρμα ὑπὸ τὴν Χαλδίαν ἦν. ἡ
was the and — of-Keltzene tourma under — Chaldia was —
δὲ Μεσοποταμία τῷ τότε καιρῷ θέμα οὐκ ἦν. Λέων δὲ
and Mesopotamia at-the then time (a)-theme not was Leo and
ὁ φιλόχριστος καὶ ἀοίδιμος βασιλεὺς τὸν Μανουὴλ ἐκεῖνον
the Christ-loving and celebrated emperor — Manuel that
ἀπὸ τοῦ Τεκῆς μετὰ λόγου ἐξήγαγεν, καὶ ἐν τῇ πόλει
from — Tekes with (a)-promise brought-out and into the city
αὐτὸν εἰσήγαγε καὶ πρωτοσπαθάριον πεποίηκεν. ἔχει δὲ ὁ
him brought and protospatharius made(-him) has and the
αὐτὸς Μανουὴλ υἱοὺς τέσσαρας, τὸν Παγκρατούκαν, τὸν
same Manuel sons four — Pankratoukas —
Ἰαχνούκαν, τὸν Μουδάφαρ καὶ τὸν Ἰωάννην· καὶ τὸν μὲν
Iachnoukas — Moudaphar and — John and — indeed
Παγκρατούκαν ὁ βασιλεὺς ἱκανάτον πεποίηκε καὶ μετὰ
Pankratoukas the emperor hikanatos made and after
τοῦτο στρατηγὸν εἰς τοὺς βουκελλαρίους, τὸν δὲ Ἰαχνούκαν
this general for the Boukellarioi — and Iachnoukas
εἰς Νικόπολιν στρατηγὸν ἐποίησε, τὸν δὲ Μουδάφαρ καὶ τὸν
at Nikopolis general he-made — and Moudaphar and —
Ἰωάννην ἐν Τραπεζοῦντι δέδωκε γῆν βασιλικήν, ἅπαντας
John in Trebizond he-gave land imperial all

ἀξιώμασι τιμήσας καὶ δοὺς αὐτοῖς εὐεργεσίας πολλάς.
with-dignities having-honored and having-given them benefactions many
καὶ ἐποίησε θέμα τὴν Μεσοποταμίαν, καὶ τὸν Ὀρέστην
and he-made (a)-theme — Mesopotamia and — Orestes
ἐκεῖνον τὸν Χαρσιανίτην στρατηγὸν προεβάλετο, καὶ τότε
that the Charsianite (as)-general he-appointed and then
δέδωκε τὴν τῆς Καμάχας τοῦρμαν ὑπὸ τὸ θέμα εἶναι
gave the — of-Kamacha tourma under the theme to-be
τῆς Μεσοποταμίας· εἶθ' οὕτως καὶ τὴν Κελτζινῆς τοῦρμαν
— of-Mesopotamia then thus also the of-Keltzene tourma
ὑπὸ τὸ θέμα καὶ αὐτὴν τῆς Μεσοποταμίας ἐποίησεν.
under the theme also it — of-Mesopotamia made
ἀρτίως δὲ ταῦτα πάντα γεγονότα ὑπὸ τὴν ἐξουσίαν
now and these all having-come under the authority
τῶν Ῥωμαίων εἰς τὸ Μεσοποταμίας θέμα ἐπὶ Ῥωμανοῦ
of-the Romans to the of-Mesopotamia theme under Romanos
δεσπότου προσετέθη ἥ τε Ῥωμανόπολις καὶ τὸ Χανζίτ.
(the)-lord was-added — both Romanopolis and — Chanzit
Ἰστέον ὅτι ἐπὶ Λέοντος τοῦ φιλοχρίστου δεσπότου ἡ
(one)-must-know that under Leo the Christ-loving lord —
Λάρισσα τοῦρμα τῆς Σεβαστείας ἦν, τὸ δὲ Κυμβαλαιὸς ἦν
Larissa (a)-tourma — of-Sebasteia was — and Kymbalaios was
τοῦρμα τοῦ Χαρσιανοῦ, τὸ δὲ Συμπόσιον ἦν ἐρημία πρὸς
(a)-tourma — of-Charsianon — and Symposion was (a)-wilderness toward
τὰ μέρη τῆς Λυκανδοῦ παρακείμενον. καὶ ἐπὶ τῆς βασιλείας
the parts — of-Lykandos lying-near and under the reign
Λέοντος τοῦ φιλοχρίστου δεσπότου Εὐστάθιος ὁ τοῦ
of-Leo the Christ-loving lord Eustathios the(-son) —
Ἀργυροῦ ἀπὸ τῆς ἐξορίας ἀνακληθεὶς εἰς τὸ Χαρσιανὸν
of-Argyros from the exile having-been-recalled to — Charsianon
στρατηγὸς ἐχωρίσθη· ὁ δὲ Μελίας εἰς τὴν Μελιτηνὴν ἔτι
(as)-general was-assigned — and Melias in — Melitene still

πρόσφυγος ἦν, καὶ ὁ Βαασάκιος μετὰ τῶν δύο ἀδελφῶν
(a)-refugee was and — Baasakios with the two brothers
αὐτοῦ τοῦ τε Κρικορίκη καὶ τοῦ Παζουνῆ, ἀλλὰ καὶ ὁ
his — both Krikorikios and — Pazounes but also —
Ἰσμαὴλ ὁ Ἀρμένιος ἐκεῖνος, οἵτινες καὶ πρὸς αὐτὸν καὶ
Ishmael the Armenian that who also to him and
τὸν προρρηθέντα Ἀργυρὸν ἔγραψαν διὰ τοῦ χρυσοβούλλου
the aforesaid Argyros wrote through the chrysobull
λόγον λαβεῖν καὶ ἐξελθεῖν, καὶ τὸν μὲν Βαασάκιον
(a)-promise to-receive and to-come-out and — indeed Baasakios
καὶ τοὺς ἀδελφοὺς αὐτοῦ εἰς Λάρισσαν καθεσθῆναι, καὶ
and the brothers his at Larissa to-be-settled and
ὀνομασθῆναι τὸν μὲν Βαασάκιον Λαρίσσης κλεισουριάρχην,
to-be-named — indeed Baasakios of-Larissa clisurarch
ὅπερ καὶ γέγονε, τὸν δὲ Ἰσμαὴλ κλεισουριάρχην εἰς τὸ
which also happened — and Ishmael clisurarch at —
Συμπόσιον, ὃ καὶ γέγονε, τὸν δὲ Μελίαν εἰς Εὐφράτειαν
Symposion which also happened — and Melias at Euphrateia
εἰς τὰ Τρυπία εἰς τὴν ἐρημίαν γενέσθαι τουρμάρχην, ὅπερ
at — Trypia in the wilderness to-become tourmarch which
καὶ ἐγένετο. ἐξελθόντων δὲ τῶν Μελιτηνιατῶν καὶ τὸν
also happened having-come-out and the Melitenians and —
Ἰσμαὴλ ἐκεῖνον ἀνελόντων ἔμενε τὸ Συμπόσιον ἔρημον·
Ishmael that having-killed remained — Symposion deserted
τοῦ δὲ Βαασακίου ὅτι προδοσίαν μελετᾷ διαβληθέντος
— and Baasakios that treason he-plans having-been-slandered
καὶ ἐξορισθέντος πάλιν ὑπὸ τῆς Σεβαστείας ἡ Λάρισσα
and having-been-exiled again under — Sebasteia — Larissa
τοῦρμα ἐγένετο, στρατηγοῦ προβληθέντος ἐκεῖσε τοῦ
(a)-tourma became (a)-general having-been-appointed there —
Ἀργυροῦ Λέοντος τοῦ υἱοῦ Εὐσταθίου, τοῦ μετὰ ταῦτα
Argyros Leo the son of-Eustathios the(-one) after these(-things)

μαγίστρου γεγονότος καὶ δομεστίκου τῶν σχολῶν. ὁ δὲ
magistros having-become and domestic of-the scholae — and
Μελίας εἰς Εὐφράτειαν καθεζόμενος, ὁπότε προεβλήθη
Melias at Euphrateia sitting when was-appointed
Κωνσταντῖνος ὁ δοὺξ εἰς τὸ Χαρσιανόν, κατῆλθεν οὗτος ὁ
Constantine the Doux to — Charsianon came-down this the
προρρηθεὶς Μελίας, καὶ τὸ παλαιὸν κάστρον τὴν Λυκανδὸν
aforesaid Melias and the ancient fortress — Lykandos
ἐκράτησε, καὶ ἔκτισεν αὐτὸ καὶ ὠχυροποίησε, καὶ ἐκεῖσε
took and built it and fortified(-it) and there
ἐκαθέσθη, καὶ ὠνομάσθη παρὰ Λέοντος τοῦ φιλοχρίστου
settled and was-named by Leo the Christ-loving
βασιλέως κλεισοῦρα. καὶ μετὰ τοῦτο διεπέρασεν ἀπὸ
emperor (a)-clisura and after this he-crossed from
Λυκανδοῦ εἰς τὸ ὄρος τῆς Τζαμανδοῦ, κἀκεῖσε τὸ νῦν
Lykandos to the mountain — of-Tzamandos and-there the now
ὂν κάστρον ἔκτισε· καὶ ὡσαύτως κἀκεῖνο κλεισοῦρα
being fortress he-built and likewise that-too (a)-clisura
ἐκαλεῖτο. ἐκράτησε δὲ καὶ τὸ Συμπόσιον, ποιήσας αὐτὸ
was-called he-took and also — Symposion having-made it
τουρμαρχάτον. ἐπὶ δὲ Κωνσταντίνου τοῦ φιλοχρίστου
(a)-tourmarchate under and Constantine the Christ-loving
δεσπότου, τοῦτο πρῶτον, συνούσης αὐτῷ καὶ Ζωῆς
lord this first being-with him also Zoe
τῆς μητρὸς αὐτοῦ, γέγονεν ἡ Λυκανδὸς στρατηγίς, καὶ
the mother his became — Lykandos (a)-command and
πρῶτος Λυκανδοῦ στρατηγὸς ὠνομάσθη ὁ πατρίκιος
first of-Lykandos general was-named the patrician
Μελίας, δηλονότι τῷ τότε καιρῷ αὐτοῦ κλεισουριάρχου ἐν
Melias evidently at-the then time him clisurarch at
Λυκανδῷ τυγχάνοντος. ὁ δὲ αὐτὸς Μελίας διά τε τὴν
Lykandos being the and same Melias because-of both the

συνοῦσαν αὐτῷ πρὸς τὸν βασιλέα τῶν Ῥωμαίων πίστιν
being-with him toward the emperor of-the Romans faith
καὶ τὰς πολλὰς καὶ ἀπείρους αὐτοῦ κατὰ Σαρακηνῶν
and the many and boundless his against Saracens
ἀνδραγαθίας μετέπειτα μάγιστρος ἐτιμήθη.
brave-deeds afterward (as)-magistros was-honored
Ἰστέον ὅτι ἡ Ἄβαρα τοῦρμα ἦν ὑπὸ τὸ θέμα
(one)-must-know that — Abara (a)-tourma was under the theme
Σεβαστείας, ἐπὶ δὲ Ῥωμανοῦ δεσπότου γέγονε κλεισοῦρα.
of-Sebasteia under and Romanos (the)-lord it-became (a)-clisura
Ἰστέον ὅτι τύπος ἐκράτησε παλαιὸς τὸν κατεπάνω
(one)-must-know that (a)-rule has-prevailed ancient the katepano
Μαρδαϊτῶν Ἀτταλίας παρὰ τοῦ βασιλέως δηλονότι
of-(the)-Mardaites of-Attaleia by the emperor evidently
προβάλλεσθαι· διὸ καὶ παρὰ Λέοντος τοῦ μακαριωτάτου
to-be-appointed therefore also by Leo the most-blessed
βασιλέως κατεπάνω προεβλήθη Σταυράκιος ὁ Πλατὺς
emperor (as)-katepano was-appointed Staurakios the Platys
ἐπονομαζόμενος, ὃς χρόνους μὲν διέτριψεν ἱκανούς, οὐχὶ
surnamed who years indeed spent considerable not
καλῶς δὲ καὶ τὰ τέλη διέθηκε. τοῦ γὰρ πρωτοσπαθαρίου
well and also the end disposed the for protospatharius
Εὐσταθίου καὶ ἀσηκρῆτις ἐν τῷ τῶν Κιβυρραιωτῶν
Eustathios and asekretis to the of-the Kibyrrhaiotai
θέματι ἐκ προσώπου ἀποσταλέντος φθόνοι τινὲς ἀναμεταξὺ
theme by proxy having-been-sent envies some between
τούτων καὶ μάχαι γεγόνασιν· ὅ τε γὰρ Σταυράκιος ὁ
these and battles arose — both for Staurakios the
Πλατὺς εἰς τὸν πατρίκιον Ἡμέριον καὶ λογοθέτην τοῦ
Platys in the patrician Himerios and logothete of-the
δρόμου θαρρῶν ὡς ἅ τε παρ᾽ αὐτοῦ εἰς τὸν βασιλέα
course trusting as inasmuch as by him to the emperor

μεσιτευθείς, τῷ ἐκ προσώπου Εὐσταθίῳ ἀντέπιπτε καὶ
having-been-sponsored to-the by proxy Eustathios opposed and
μάλιστα ἐναντίως εἶχεν ἐν οἷς αὐτὸν ἑώρα ἔξω τοῦ
especially contrarily was-disposed in which him he-saw beyond the
δέοντός τι διαπραττόμενον ἢ καὶ προστάττοντα· ὅ τε
needful something doing or also commanding he both
δὲ πάλιν ὁ ἐκ προσώπου Εὐστάθιος πρὸς τὸν Σταυράκιον
and again the by proxy Eustathios toward — Staurakios
διέκειτο ἐχθρωδῶς, καὶ πολλὰς κατ᾽ αὐτοῦ ἐπιθέσεις καὶ
was-disposed hostilely and many against him attacks and
μηχανὰς ἐπλάττετο. ὅθεν αἰτίας ὁ προρρηθεὶς Εὐστάθιος
devices fabricated whence charges the aforesaid Eustathios
κατὰ τοῦ Σταυρακίου ἀνήγαγεν, ὡς τὸ τῶν Κιβυρραιωτῶν
against — Staurakios referred that the of-the Kibyrrhaiotai
θέμα δύο στρατηγοὺς ἔχειν οὐ δύναται, δηλονότι ἐμὲ καὶ
theme two generals to-have not is-able evidently me and
τὸν Σταυράκιον τὸν κατεπάνω Μαρδαϊτῶν· ἄλλα γὰρ
— Staurakios the katepano of-(the)-Mardaites some-things for
ἐμοῦ προστάττοντος καὶ διοικεῖν ἐθέλοντος, ἄλλα ποιεῖν
I commanding and to-administer wishing other-things to-do
ὁ κατεπάνω Μαρδαϊτῶν βούλεται, καὶ αὐτεξούσιος ὢν
the katepano of-(the)-Mardaites wishes and independent being
τὰ αὐτῷ δοκοῦντα μανικῶς διαπράττεται. ἀνήγαγε δὲ
the(-things) to-him seeming madly does he-referred and
καὶ ἄλλας ψευδολογίας τινάς, καὶ πολλὰς μηχανὰς κατ᾽
also other false-tales some and many devices against
αὐτοῦ συνερράψατο, τὰς μὲν πιθανῶς συνθείς, τὰς
him stitched-together the indeed plausibly having-composed the
δὲ συκοφαντικῶς τε καὶ μανικῶς ἀναπλασάμενος. καὶ
and calumniously both and madly having-fabricated and
οὗτος δηλονότι τῷ πατρικίῳ Ἡμερίῳ καὶ λογοθέτῃ τοῦ
he evidently in-the patrician Himerios and logothete of-the

δρόμου θαρρῶν ταῦτα ἔγραψεν. ἐπὶ δὲ τῷ τότε καιρῷ
course trusting these(-things) wrote at and the then time
φίλος Εὐσταθίου μᾶλλον ἦν ὁ πατρίκιος Ἡμέριος ἤπερ
(a)-friend of-Eustathios rather was the patrician Himerios than
Σταυρακίου, κἂν ὕστερον ἐχθρανθέντες ἀμφότεροι ἔχθρας
of-Staurakios even-if later having-become-enemies both of-enmity
ἀνάμεστοι καὶ μανίας πλήρεις γεγόνασι. τὴν οὖν τοιαύτην
full and of-madness full became the then such
ἀναφορὰν Εὐσταθίου δεξάμενος ὁ βασιλεύς, καὶ τῇ αἰτήσει
report of-Eustathios having-received the emperor and by-the request
τοῦ πατρικίου Ἡμερίου πεισθείς, δέδωκε τὴν τοῦ
of-the patrician Himerios having-been-persuaded gave the of-the
τοιούτου κατεπάνω ἐξουσίαν τῷ πρωτοσπαθαρίῳ Εὐσταθίῳ
such katepano authority to-the protospatharius Eustathios
τῷ ἐκ προσώπου. τοῦ δὲ μακαρίου βασιλέως τὸν βίον ἀπὸ
the by proxy the and blessed emperor the life from
τῶν κάτω πρὸς τὰ ἄνω μετηλλαχότος, Ἀλέξανδρος
the(-things) below to the(-things) above having-exchanged Alexander
ὁ ἀδελφὸς αὐτοῦ τῆς αὐτοκράτορος ἀρχῆς ἐγκρατὴς
the brother his of-the autocratic rule master
γεγονώς, ὡς πάντας τοὺς ὑπὸ τοῦ μακαρίου βασιλέως καὶ
having-become as all those by the blessed emperor and
ἀδελφοῦ αὐτοῦ προβληθέντας ἔν τισιν ἀρχαῖς διεδέξατο,
brother his appointed in some offices he-replaced
χαιρεκάκοις καὶ κακοβούλοις ἀνδράσι πεισθείς, οὕτω
by-malicious and ill-counseling men having-been-persuaded thus
δὴ καὶ τὸν προρρηθέντα Εὐστάθιον διεδέξατο καὶ ἀντ᾽
indeed also the aforesaid Eustathios he-replaced and in-place-of
αὐτοῦ πεποίηκεν ἕτερον. ὁ γὰρ Χασὲ ἐκεῖνος ὁ ἐκ
him made another — for Chase that the(-one) from
Σαρακηνῶν τῷ γένει ὁρμώμενος, Σαρακηνὸς δὲ τῷ ὄντι
Saracens by-the race sprung (a)-Saracen and in-the reality

τῇ γνώμῃ καὶ τῷ τρόπῳ καὶ τῇ λατρείᾳ διατελῶν, ὁ
in-the mind and in-the manner and in-the worship continuing the
τοῦ πατρικίου Δαμιανοῦ δοῦλος, ἐπεὶ πολλὴν παρρησίαν
of-the patrician Damianos slave since much freedom-of-speech
εἶχε τῷ τότε καιρῷ ὁ πρωτοσπαθάριος οὗτος Χασὲ
had at-the then time the protospatharius this Chase
πρὸς τὸν κῦριν Ἀλέξανδρον τὸν βασιλέα, ὡσαύτως καὶ ὁ
toward the lord Alexander the emperor likewise also the
πρωτοσπαθάριος Νικήτας ὁ ἀδελφὸς τοῦ Χασέ, ὁ καὶ
protospatharius Niketas the brother — of-Chase the(-one) also
τῶν Κιβυρραιωτῶν στρατηγὸς γεγονὼς παρὰ τοῦ αὐτοῦ
of-the Kibyrrhaiotai general having-become by the same
κυροῦ Ἀλεξάνδρου τοῦ βασιλέως. ὁ Νικήτας οὖν οὗτος
lord Alexander the emperor — Niketas then this
ὁ ἀδελφὸς τοῦ προρρηθέντος Χασὲ τὸν βασιλέα ᾐτήσατο
the brother of-the aforesaid Chase the emperor asked
ὅτι ὡς ἀρχαῖόν σου φίλον εὐεργετεῖν με πρέπον ἐστίν,
that as (an)-old your friend to-benefit me fitting it-is
ἓν δὲ πρὸς τὴν βασιλείαν σου αἴτημα ἔχω, καὶ δίκαιόν
one and to the majesty your request I-have and just
ἐστιν εἰσακοῦσαί μου. τοῦ δὲ βασιλέως διαπορουμένου καὶ
it-is to-hear me the and emperor being-at-a-loss and
ἀντερωτῶντος τί ἂν εἴη τοῦτο τὸ αἴτημα, καὶ ὅπερ
asking-in-return what — might-be this the request and whatever
ἐάν ἐστιν ὑπακοῦσαι ὑποσχομένου, ὁ προρρηθεὶς Νικήτης
if it-is to-heed having-promised the aforesaid Niketas
ᾐτήσατο ὅτι τὸν υἱόν μου αἰτοῦμαι ἵνα ποιήσῃ ἡ βασιλεία
asked that the son my I-ask that make the majesty
σου κατεπάνω τῶν Μαρδαϊτῶν Ἀτταλίας· οὗ τινὸς
your katepano of-the Mardaites of-Attaleia of-whom some
ὁ βασιλεὺς τῇ αἰτήσει πεισθείς, ἐπὶ προελεύσεως
the emperor by-the request having-been-persuaded at (a)-procession

εἰσαγαγὼν ἐπὶ τοῦ Χρυσοτρικλίνου τὸν υἱὸν τοῦ
having-brought(-him)-in into the Chrysotriklinos the son of-the
πρωτοσπαθαρίου Νικήτα τὸν σπαθαροκανδιδᾶτον Ἀβέρκιον,
protospatharius Niketas the spatharocandidatus Aberkios
προεβάλετο αὐτὸν κατεπάνω τῶν Μαρδαϊτῶν Ἀτταλίας,
appointed him katepano of-the Mardaites of-Attaleia
καθὼς καὶ ὁ μακάριος Λέων ὁ βασιλεὺς πρότερον
as also the blessed Leo the emperor formerly
Σταυράκιον τὸν Πλατὺν ἐπονομαζόμενον. καὶ ὁ ἐξ
Staurakios the Platys surnamed and the from
ἀρχῆθεν παλαιὸς ἔχων τύπος, καθὼς ἐν ἀρχαῖς εἴρηται,
(the)-beginning ancient having rule as at (the)-beginnings has-been-said
ὑπὸ τοῦ βασιλέως προβάλλεσθαι τὸν κατεπάνω Μαρδαϊτῶν.
by the emperor to-be-appointed the katepano of-(the)-Mardaites
Ἰστέον ὅτι ἐπὶ βασιλέως τοῦ Θεοφίλου παρακοιμώμενος
(one)-must-know that under (the)-emperor — Theophilos parakoimomenos
γέγονε Σχολαστίκιος ὀστιάριος, ἐπὶ δὲ Μιχαὴλ υἱοῦ
became Scholastikios (the)-ostiarios under and Michael son
Θεοφίλου παρακοιμώμενος Δαμιανὸς πατρίκιος· καὶ μετὰ
of-Theophilos parakoimomenos Damianos (the)-patrician and after
τοῦτον ἐπὶ τοῦ αὐτοῦ γέγονε παρακοιμώμενος Βασίλειος ὁ
him under the same became parakoimomenos Basil the
φιλόχριστος βασιλεύς. ἐπὶ δὲ τοῦ Βασιλείου φιλοχρίστου
Christ-loving emperor under and — Basil Christ-loving
δεσπότου παρακοιμώμενος οὐ γέγονε δι' ὅλης αὐτοῦ
lord parakoimomenos not there-was through whole his
τῆς βασιλείας. ἐπὶ δὲ Λέοντος τοῦ φιλοχρίστου δεσπότου
the reign under and Leo the Christ-loving lord
παρακοιμώμενος γέγονε Σαμωνᾶς ὁ πατρίκιος, καὶ μετὰ
parakoimomenos became Samonas the patrician and after
τοῦτον ἐπὶ τοῦ αὐτοῦ βασιλέως γέγονε Κωνσταντῖνος
him under the same emperor became Constantine

ὁ πατρίκιος. ἐπὶ δὲ Ἀλεξάνδρου τοῦ βασιλέως γέγονε
the patrician under and Alexander the emperor became
παρακοιμώμενος πατρίκιος Βαρβάτος. ἐπὶ δὲ Κωνσταντίνου
parakoimomenos (the)-patrician Barbatos under and Constantine
τοῦ φιλοχρίστου δεσπότου γέγονε πάλιν Κωνσταντῖνος
the Christ-loving lord became again Constantine
πατρίκιος ὁ προρρηθεὶς ἐπὶ Λέοντος δεσπότου, ἐπὶ
(the)-patrician the(-one) aforesaid under Leo (the)-lord under
δὲ Ῥωμανοῦ δεσπότου Θεοφάνης πατρίκιος· ἐπὶ δὲ
and Romanos (the)-lord Theophanes (the)-patrician under and
Κωνσταντίνου τὸ δεύτερον γέγονε Βασίλειος πατρίκιος.
Constantine the second(-time) became Basil (the)-patrician
Ἰστέον ὅτι ἐπὶ Λέοντος τοῦ φιλοχρίστου καὶ ἀειμνήστου
(one)-must-know that under Leo the Christ-loving and ever-memorable
βασιλέως ἦν ὁ Κτενᾶς ἐκεῖνος, γέρων κληρικὸς πάνυ
emperor was — Ktenas that old cleric very
πλούσιος, ὅστις ἦν καὶ δομέστικος εἰς τὴν νέαν ἐκκλησίαν·
rich who was also domestic at the New Church
ὑπῆρχε δὲ τεχνίτης εἰς τὸ ᾄσμα, οἷος τῷ τότε καιρῷ
he-was and (an)-artist in the chant such-as at-the then time
ἕτερος οὐκ ἦν. ὁ δὲ αὐτὸς Κτενᾶς τὸν πατρίκιον
another not was the and same Ktenas the patrician
Σαμωνᾶν ἐδυσώπησε, τῷ τότε καιρῷ παρακοιμωμένου
Samonas entreated at-the then time parakoimomenos
αὐτοῦ ὄντος, μεσιτεῦσαι αὐτὸν εἰς τὸν βασιλέα τοῦ γενέσθαι
him being to-mediate him to the emperor of-the to-become
πρωτοσπαθάριον καὶ φορεῖν ἐπικούτζουλον καὶ προέρχεσθαι
protospatharius and to-wear (the)-epikoutzoulon and to-go-forth
εἰς τὸν Λαυσιακὸν καὶ καθέζεσθαι ὡς πρωτοσπαθάριον
into the Lausiakos and to-sit as protospatharius
καὶ ῥογεύεσθαι αὐτὸν λίτραν μίαν, καὶ ὑπὲρ τῆς τοιαύτης
and to-be-paid him pound one and for the such

ἀντιλήψεως δοῦναι τῷ βασιλεῖ λίτρας τεσσαράκοντα. ὁ δὲ
support to-give to-the emperor pounds forty the and
βασιλεὺς οὐκ ἠνέσχετο τοῦτο ποιῆσαι, λέγων τῶν ἀδυνάτων
emperor not endured this to-do saying of-the impossible(-things)
τυγχάνειν καὶ εἰς μεγάλην ἀδοξίαν τῆς βασιλείας μου
to-be and to great disgrace of-the majesty my
κληρικὸν γενέσθαι πρωτοσπαθάριον. ἀκούσας δὲ ὁ αὐτὸς
(a)-cleric to-become protospatharius having-heard and the same
Κτενᾶς παρὰ τοῦ πατρικίου Σαμωνᾶ ταῦτα προσέθηκεν
Ktenas from the patrician Samonas these(-things) added
εἰς τὰς τεσσαράκοντα λίτρας καὶ σχολαρίκια ζυγὴν μίαν,
to the forty pounds also ear-pendants pair one
ἐκτιμηθεῖσαν λίτρας δέκα, καὶ τραπεζίου ἀσίμιν ἔνζωδον
valued pounds ten and of-table silver figured
διάχρυσον ἀνάγλυφον, ἐκτιμηθὲν καὶ αὐτὸ λίτρας δέκα. καὶ
gilded embossed valued also it pounds ten and
δυσωπηθεὶς ὁ βασιλεὺς τῇ παρακλήσει τοῦ πατρικίου
having-been-entreated the emperor by-the plea of-the patrician
Σαμωνᾶ καὶ παρακοιμωμένου ἀνελάβετο τὰς τεσσαράκοντα
Samonas and parakoimomenos took the forty
τοῦ χρυσίου λίτρας καὶ τὴν ζυγὴν τὰ σχολαρίκια καὶ
of-the gold pounds and the pair the ear-pendants and
τοῦ τραπεζίου τὸ ἀνάγλυφον καὶ διάχρυσον ἀσίμιν, ὡς
of-the table the embossed and gilded silver so-that
γενέσθαι τὸ πᾶν δόμα τοῦ αὐτοῦ Κτενᾶ λίτρας ἑξήκοντα.
to-be the whole gift of-the same Ktenas pounds sixty
τότε ἐποίησεν αὐτὸν ὁ βασιλεὺς πρωτοσπαθάριον καὶ
then made him the emperor protospatharius and
ἐρογεύθη τῷ καιρῷ ἐκείνῳ λίτραν μίαν. ἔζησε δὲ ὁ αὐτὸς
he-was-paid at-the time that pound one lived and the same

Κτενᾶς μετὰ τὸ τιμηθῆναι αὐτὸν πρωτοσπαθάριον ἔτη δύο
Ktenas after the to-be-honored him (as)-protospatharius years two
καὶ ἐτελεύτησεν, ἐρογεύθη δὲ τὰ δύο ἔτη ἀνὰ λίτραν μίαν.
and died was-paid and the two years each pound one

LI · THE IMPERIAL DROMONS

Leo the Wise first built imperial dromons to carry more officials. The protospatharius of the Phiale judged the rowers. The chapter follows the captains who served, among them Barkalas, who cut Symeon's barriers on the river so the Turks could cross, and how the captain of the dromon came to command all the imperial rowers. Levies from the western themes follow.

περὶ τοῦ τίνι τρόπῳ γέγονε τὸ βασιλικὸν δρομώνιον,
concerning the in-what way came-about the imperial dromon
καὶ περὶ τῶν πρωτοκαράβων τοῦ αὐτοῦ δρομωνίου, καὶ
and concerning the chief-captains of-the same dromon and
ὅσα περὶ τοῦ πρωτοσπαθαρίου τῆς φιάλας.
(the-things)-which concerning the protospatharius of-the Phiale
Ἰστέον ὅτι μέχρι τῆς βασιλείας Λέοντος τοῦ ἀοιδίμου
(one)-must-know that until the reign of-Leo the celebrated
καὶ σοφωτάτου βασιλέως οὐκ ἦν βασιλικὸν δρομώνιον
and most-wise emperor not was (an)-imperial dromon
ἐν ᾧ εἰσήρχετο ὁ βασιλεύς, ἀλλ' εἰς ῥούσιον ἀγράριον
in which embarked the emperor but on (a)-red agrarion
εἰσήρχετο. πλὴν ἐπὶ Βασιλείου τοῦ φιλοχρίστου δεσπότου,
he-embarked except under Basil the Christ-loving lord
ὅτε ἐπῆλθεν ὁ αὐτὸς βασιλεὺς εἰς τὰ Θέρμα τῆς Προύσης,
when went the same emperor to the Therma — of-Prousa
καὶ πάλιν ὅτε ἀπῆλθε θεάσασθαι τὸ γεφύριον τοῦ Ῥηγίου
and again when he-went-away to-see the bridge — of-Rhegion

δηλονότι τῇ κελεύσει αὐτοῦ καὶ προνοίᾳ κτιζόμενον,
evidently by-the order his and providence being-built
εἰς δρομώνιον εἰσῆλθε, καὶ ἕτερον δρομώνιον ἠκολούθει
on (a)-dromon he-embarked and another dromon followed
ὄπισθεν. οἱ δὲ ἐν αὐτῷ εἰσελθόντες ἐλάται ὑπῆρχον ἀπὸ
behind those and on it having-embarked rowers were from
τοῦ βασιλικοῦ ἀγραρίου καὶ ἀπὸ τῶν Στενιτῶν πλωΐμων.
the imperial agrarion and from the Stenite seamen
τὸ γὰρ παλαιὸν εἶχε τὸ Στενὸν χελάνδια βασιλικὰ
in-the for old(-days) had the Stenon warships imperial
πλώϊμα μέχρι τῶν δέκα. ἐπεὶ δὲ ὁ μακάριος βασιλεὺς ὅλα
of-the-fleet up-to the ten since and the blessed emperor all
τὰ πλείονα αὐτοῦ μεταστασίματα εἰς τὰς Πηγὰς ἐποίει
the most his removals to the Pegai made
διὰ τὸ καὶ ὑπ᾽ αὐτοῦ κτισθῆναι τὰ τοιαῦτα παλάτια,
because-of the also by him to-have-been-built the such palaces
ὁμοίως καὶ εἰς τὸ Ἕβδομον καὶ εἰς τὴν Ἱερίαν καὶ εἰς τὴν
likewise also to — Hebdomon and to — Hieria and to —
Βρύαν, εἰσήρχετο εἰς τὸ ἀγράριον κατὰ τὸν παλαιὸν
Bryas he-embarked on the agrarion according-to the old
τύπον. ὅτε δὲ εἰς μακρότερον ἀπῄει πρόκενσον, οἷον εἰς
custom when but on (a)-longer he-went-away excursion such-as to
τὰ Θέρμα τῆς Προύσης καὶ εἰς ἐπιτήρησιν τοῦ Ῥηγίου τῆς
the Therma — of-Prousa and to inspection — of-Rhegion of-the
γεφύρας, εἰσῄει, καθὼς προείρηται, εἰς δρομώνιον, καὶ
bridge he-embarked as has-been-said-before on (a)-dromon and
ἠκολούθει ἕτερον δρομώνιον, διότι καὶ πλείονας ἄρχοντας
followed another dromon because also more officers
εἰσέρχεσθαι μετὰ τοῦ βασιλέως, καὶ τοὺς ὑπολοίπους εἰς τὸ
to-embark with the emperor and the remaining on the
δεύτερον δρομώνιον. ὁ δὲ ἀοίδιμος καὶ σοφώτατος Λέων
second dromon the and celebrated and most-wise Leo

ὁ βασιλεὺς φιλοτιμότερόν πως πρὸς τοὺς μαγίστρους
the emperor more-generously somehow toward the magistroi
καὶ πατρικίους καὶ οἰκείους συγκλητικοὺς διακείμενος καὶ
and patricians and own senators disposed and
θέλων ἀεὶ τοῦτο συγχαίρεσθαι, λογισάμενος μὴ ἐπαρκεῖν
wishing always this to-rejoice-together having-reckoned not to-suffice
εἰς ὑποδοχὴν πλειόνων ἀρχόντων τὸ ἀγράριον, ἐποίησε
for reception of-more officers the agrarion made
δρομώνιον, καὶ δὴ ἀπαύστως εἰσήρχετο ἐν αὐτῷ ὁπουδὰν
(a)-dromon and indeed unceasingly he-embarked on it wherever
ἐβούλετο ἀπελθεῖν. συνήρχοντο δὲ μετὰ αὐτοῦ οἵους
he-wished to-go-away went-with and with him whichever
ἂν ἐβούλετο τῶν ἀρχόντων, ἀπό τε μαγίστρων καὶ
— he-wished of-the officers from both magistroi and
πατρικίων· κατὰ τύπον γὰρ ἐν τῷ ἀγραρίῳ οὐδεὶς ἕτερος
patricians by rule for on the agrarion no-one other
εἰσήρχετο μετὰ τοῦ βασιλέως εἰ μὴ ὁ δρουγγάριος τῆς
embarked with the emperor if not the drungarius of-the
βίγλης καὶ ὁ δρουγγάριος τοῦ πλωΐμου καὶ ὁ λογοθέτης
watch and the drungarius of-the fleet and the logothete
τοῦ δρόμου καὶ ὁ ἑταιρειάρχης καὶ ὁ μυστικὸς καὶ
of-the course and the hetaereiarch and the mystikos and
ὁ τῶν δεήσεων, καὶ ὅτε παρῆν ἐν τῇ πόλει καὶ
the(-one) of-the petitions and when he-was-present in the city also
ὁ δομέστικος τῶν σχολῶν, καὶ ὁ παρακοιμώμενος, καὶ
the domestic of-the scholae and the parakoimomenos and
ὁ πρωτοβεστιάριος, καὶ ἐκ τῶν κοιτωνίτων οὓς ἂν
the protovestiarios and of the chamberlains whom-ever —
ἐκέλευσεν ὁ βασιλεύς. δι' οὖν τὸν τρόπον τοῦτον
ordered the emperor because-of then the way this
ἐποίησε Λέων ὁ ἀοίδιμος καὶ σοφώτατος βασιλεὺς τὸ
made Leo the celebrated and most-wise emperor the

δρομώνιον, καὶ μετά τινα καιρὸν ἐποίησε καὶ ἕτερον
dromon and after some time made also another
δρομώνιον, ὃ καὶ δεύτερον προσηγορεύθη καὶ ἀκολούθως
dromon which also second was-called and accordingly
ὠνομάσθη. καὶ γὰρ εἰς μακρόκενσα ἀπῄει ὁ μακάριος
was-named and for on long-excursions went-away the blessed
οὗτος βασιλεύς, οἷον εἰς Νικομήδειαν, εἰς τὸν Ὄλυμπον,
this emperor such-as to Nicomedia to the Olympus
εἰς τὰ Πύθια· καὶ διὰ τοῦτο ἐπετηδεύσατο τὰ δύο
to the Pythia and because-of this he-contrived the two
δρομώνια εἰς ὑπηρεσίαν καὶ ἀνάπαυσιν αὐτοῦ τε καὶ τῶν
dromons for service and rest his both and of-the
ἀρχόντων αὐτοῦ. πολλάκις γὰρ ἐξερχομένου αὐτοῦ εἰς
officers his often for going-out him to
τὰ πλησίον πρόκενσα, τὴν μίαν οὐσίαν κατελίμπανεν εἰς
the near excursions the one squadron he-left at
τὸν Ἱππόδρομον πρὸς φύλαξιν τοῦ παλατίου, διὰ τὸ
the Hippodrome for guarding of-the palace because-of the
τάγμα τοῦ ἀριθμοῦ κατὰ τὸν ἐπικρατήσαντα παλαιὸν
regiment of-the Arithmos according-to the having-prevailed old
τύπον μετὰ τοῦ δομεστίκου τῶν σχολῶν ταξιδεύειν, καὶ
custom with the domestic of-the scholae to-campaign and
ἐναπομένοντες εἰς τὸν Ἱππόδρομον συνεξιοῦσι κατὰ
those-remaining at the Hippodrome go-out-with according-to
τύπον τοῖς βασιλεῦσιν εἰς τὰ πρόκενσα.
custom the emperors on the excursions
Ὅτι ἐξ ἀρχῆς καὶ ἄνωθεν βασιλικὸν ὀφφίκιον ἦν τῷ
that from (the)-beginning and from-of-old imperial (an)-office was to-the
πρωτοσπαθαρίῳ τῆς φιάλης· οὗτος δὲ ὁ πρωτοσπαθάριος
protospatharius of-the Phiale this and the protospatharius
τῆς φιάλης ἐπεκράτει καὶ εἶχεν ὑπ᾽ αὐτὸν πάντας τοὺς
of-the Phiale held-power and had under him all the

ἐλάτας τῶν βασιλικῶν ἀγραρίων ῥουσίων τε καὶ μαύρων,
rowers of-the imperial agraria red both and black
ἄνευ τῶν ἀγραρίων τῆς Αὐγούστης· τὰ γὰρ ἀγράρια
except the agraria of-the Augusta the for agraria
τῆς Αὐγούστης τά τε ῥούσια καὶ μαῦρα ἐπεκράτει καὶ
of-the Augusta the both red and black controlled and
ἐξουσίαζεν ὁ τῆς τραπέζης τῆς Αὐγούστης. ἐπὶ
had-authority-over the(-one) of-the table of-the Augusta under
δὲ τῆς βασιλείας Λέοντος τοῦ ἀοιδίμου καὶ σοφωτάτου
and the reign of-Leo the celebrated and most-wise
βασιλέως καινουργηθέντα τὰ δρομώνια κελεύσει βασιλικῇ
emperor newly-made the dromons by-order imperial
εἶχεν ὁ αὐτὸς πρωτοσπαθάριος τῆς φιάλης καὶ τῶν
had the same protospatharius of-the Phiale also of-the
τοιούτων δρομωνίων τοὺς ἐλάτας ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν.
such dromons the rowers under the his-own authority
ὁ οὖν προρρηθεὶς πρωτοσπαθάριος τῆς φιάλης καθ'
the then aforesaid protospatharius of-the Phiale by
ἑκάστην ἡμέραν καὶ καθ' ἑκάστην δείλην ἀπὸ παλαιοῦ
each day and by each evening from old
τύπου κατήρχετο καὶ ἐκαθέζετο ἐν τῇ φιάλῃ (διὰ τοῦτο
custom came-down and sat in the Phiale because-of this
γὰρ καὶ ἐλέγετο πρωτοσπαθάριος τῆς φιάλης) καὶ τὰς
for also he-was-called protospatharius of-the Phiale and the
ἀναμεταξὺ δίκας τῶν ἐλατῶν τῶν τε ἀγραρίων καὶ τῶν
among(-them) suits of-the rowers of-the both agraria and of-the
δρομωνίων τῶν παρ' αὐτοῦ ἐξουσιαζομένων ἔκρινε καὶ
dromons those by him being-governed he-judged and
κατὰ τὸ δίκαιον ἐδίκαζέ τε καὶ ἐδιοίκει· καὶ ἡνίκα
according-to the just judged both and administered and when
παρὰ τὸ δέον εὕρισκέ τινα ἢ ἐργαζόμενον ἤ τινα
contrary-to the needful he-found anyone either working or anyone

ἀδικοῦντα ἢ εἰς τὴν ἰδίαν δουλείαν βαγεύοντα, τοῦτον διὰ
wronging or in the own service idling him with
μαγκλαβίων σφοδρῶν ἐπεξήρχετο. καὶ καθ' ὃν εἴρηται
whips violent he-punished and in which has-been-said
τρόπον, πάντες οἱ τῶν δρομωνίων ἐλάται καὶ οἱ τῶν τοῦ
way all the of-the dromons rowers and those of-the of-the
βασιλέως ἀγραρίων, τῶν ῥουσίων καὶ τῶν μαύρων, ὑπὸ
emperor agraria the red and the black under
τὴν χεῖρα καὶ τὴν θεωρίαν ὑπῆρχον τοῦ πρωτοσπαθαρίου
the hand and the inspection were of-the protospatharius
τῆς φιάλης. τὰ δὲ τῆς Αὐγούστης ἀγράρια τά τε ῥούσια
of-the Phiale the and of-the Augusta agraria the both red
καὶ μαῦρα ὑπὸ τὴν χεῖρα καὶ τὴν ἐφορείαν ὑπῆρχον
and black under the hand and the oversight were
τοῦ τῆς τραπέζης τῆς Αὐγούστης, δηλονότι τὸν λόγον
of-the(-one) of-the table of-the Augusta evidently the account
τῶν ἀγραρίων τούτων ποιοῦντος τοῦ τῆς τραπέζης
of-the agraria these making the(-one) of-the table
οὐχὶ πρὸς τὴν Αὐγοῦσταν ἀλλὰ πρὸς τὸν βασιλέα. ἐπὶ
not to the Augusta but to the emperor under
δὲ Λέοντος τοῦ ἀοιδίμου καὶ σοφωτάτου βασιλέως ἦν
and Leo the celebrated and most-wise emperor was
πρωτοσπαθάριος τῆς φιάλης ὁ Ἰωάννης, οὗ τὸ ἐπίκλην
protospatharius of-the Phiale — John whose the surname
ὁ Θαλάσσων, καὶ μετ' αὐτὸν γέγονεν ὁ πρωτοσπαθάριος
the Thalasson and after him became the protospatharius
ὁ Ποδάρων, καὶ μετ' ἐκεῖνον ὁ πρωτοσπαθάριος Λέων ὁ
— Podaron and after that-one the protospatharius Leo the
Ἀρμένης ὁ τοῦ πρωτοσπαθαρίου Ἀρσενίου καὶ μαγκλαβίτου
Armenian the of-the protospatharius Arsenios and manglabites
πατήρ. οὗτοι δέ, ὅ τε ὁ πρωτοσπαθάριος Ποδάρων καὶ
father these and the both the protospatharius Podaron and

ὁ Λέων ὁ Ἀρμένης, πρωτελάται γεγόνασι τοῦ πατρικίου
— Leo the Armenian chief-rowers became of-the patrician
Νάσαρ καὶ δρουγγαρίου τοῦ πλωΐμου, καὶ ἐπὶ Βασιλείου
Nasar and drungarius of-the fleet and under Basil
τοῦ φιλοχρίστου δεσπότου ἀνῆξαν ἀπὸ τοῦ πλωΐμου καὶ
the Christ-loving lord they-went-up from the fleet and
γεγόνασι πρωτελάται τοῦ ἀγραρίου τοῦ βασιλέως· ἐπὶ
became chief-rowers of-the agrarion of-the emperor under
δὲ τῆς βασιλείας Λέοντος τοῦ ἀοιδίμου καὶ σοφωτάτου
and the reign of-Leo the celebrated and most-wise
βασιλέως, ἡνίκα καὶ τὰ δρομώνια ἐποίησε, διὰ τὴν
emperor when also the dromons he-made because-of the
ἀνδρίαν αὐτῶν καὶ τὴν ἐμπειρίαν τῆς θαλάσσης ἐποίησεν
bravery their and the experience of-the sea he-made
αὐτοὺς πρωτοκαράβους. καὶ περιστάσεως γενομένης
them chief-captains and (a)-crisis having-arisen
εἰσήγαγεν ὁ βασιλεὺς τῶν δύο δρομωνίων τοὺς ἐλάτας
put the emperor of-the two dromons the rowers
μετὰ τῶν δύο πρωτοκαράβων τοῦ πρώτου δρομωνίου εἰς
with the two chief-captains of-the first dromon on
χελάνδια πλώϊμα, δοὺς αὐτοῖς ἐξόπλισιν πολλὴν καὶ
warships of-the-fleet having-given them equipment much and
ἀναγκαίαν, οἷον σκουτάρια δόρκας κλιβάνια κάλλιστα,
necessary such-as shields hides corselets very-fine
καὶ ἄλλα ὅσα ἐπιδέονται πλώϊμοι στρατιῶται
and other(-things) as-many-as need seagoing soldiers
ἐπιφέρεσθαι· καὶ ἀνελάβετο αὐτοὺς ὁ πατρίκιος Εὐστάθιος
to-carry and took them the patrician Eustathios
καὶ δρουγγάριος τοῦ πλωΐμου μετὰ τοῦ βασιλικοῦ στόλου,
and drungarius of-the fleet with the imperial fleet
καὶ ἀπῄει κατὰ τῶν ἐναντίων. τοῦτο δὲ ὅλον ἐποίησεν ὁ
and went-away against the adversaries this and all did the

βασιλεὺς διὰ τὸ ἀποβλέπειν τὸν πατρίκιον Εὐστάθιον καὶ
emperor because-of the to-look the patrician Eustathios and
δρουγγάριον τοῦ πλωΐμου πρὸς πόλεμον τῶν ἐναντίων. καὶ
drungarius of-the fleet to war of-the adversaries and
ἀντ᾽ ἐκείνων ἐκυβέρνα τὸ βασιλικὸν δρομώνιον Μιχαὴλ
in-place-of those piloted the imperial dromon Michael
ὁ γέρων καὶ συνετὸς ἐκεῖνος, ὄντων αὐτῶν τῷ τότε
the old-man and intelligent that being them at-the then
καιρῷ πρωτελατῶν. οἱ δὲ ἐλαύνοντες εἰς τὰ δρομώνια
time chief-rowers those and rowing in the dromons
ἕως τῆς ἐλεύσεως τῶν βασιλικῶν ἐλατῶν ὑπῆρχον
until the coming of-the imperial rowers were
Στενῖται ἐκ τῶν οὐσιῶν τοῦ Στενοῦ. ὅτε δὲ ὑπέστρεψαν
Stenites from the squadrons of-the Stenon when and they-returned
ἐκ τοῦ ταξιδίου, πάλιν ἦσαν εἰς τὴν ἰδίαν δουλείαν
from the campaign again they-were in the own service
καθὼς καὶ προϋπῆρχον. τότε οἱονεὶ φιλοτιμούμενος ὁ
as also they-had-been-before then as-it-were honoring the
βασιλεὺς τὸν πρωτοσπαθάριον τὸν Ποδάρωνα διὰ τὸ
emperor the protospatharius — Podaron because-of the
ἀνδραγαθῆσαι αὐτὸν καὶ εὐδοκιμῆσαι ὑπὲρ πάντας
to-have-been-brave him and to-have-distinguished-himself above all
εἰς τὸν πόλεμον καὶ μαρτυρηθῆναι καὶ παρὰ τοῦ πατρικίου
in the war and to-have-been-testified also by the patrician
Εὐσταθίου καὶ δρουγγαρίου τοῦ πλωΐμου ἕτερον τοιοῦτον
Eustathios and drungarius of-the fleet another such
μὴ εἶναι εἰς τὸ πλώϊμον ἐπί τε ἀνδρίᾳ καὶ διεγέρσει
not to-be in the fleet in both bravery and alertness
καὶ ταῖς λοιπαῖς ἀρεταῖς καὶ μάλιστα τῇ πρὸς τὸν
and the other virtues and especially the toward the
βασιλέα εὐνοίᾳ καὶ ὀρθῇ πίστει, δέδωκεν αὐτῷ καὶ τὴν
emperor goodwill and upright faith gave to-him also the

ἐξουσίαν τοῦ πρωτοσπαθαρίου τῆς φιάλης. διά τε
authority of-the protospatharius of-the Phiale because-of and
τὸ εἶναι αὐτὸν ἀγράμματον, προστάξει τοῦ βασιλέως
the to-be him unlettered by-command of-the emperor
κατήρχετο κριτὴς ἀπὸ τοῦ Ἱπποδρόμου καὶ συνεκαθέζετο
came-down (a)-judge from the Hippodrome and sat-with
μετὰ αὐτοῦ ἐν τῇ φιάλῃ καὶ ἔκρινε τοὺς ἐλάτας. τὰ
with him in the Phiale and judged the rowers the
δὲ αὐγουστιακὰ ἀγράρια, καθὼς προείρηται, ἐπεκράτει
and Augusta's agraria as has-been-said-before controlled
ὁ τῆς τραπέζης τῆς Αὐγούστης. μετὰ τοῦτο δὲ
the(-one) of-the table of-the Augusta after this and
προεβάλετο ὁ βασιλεὺς τόν τε Ποδάρωνα καὶ τὸν
appointed the emperor — both Podaron and —
Λέοντα τὸν Ἀρμένην τοποτηρητὰς τοῦ βασιλικοῦ πλωΐμου·
Leo the Armenian topoteretai of-the imperial fleet
πρωτοκαράβους δὲ τοῦ δρομωνίου αὐτοῦ προεβάλετο τὸν
chief-captains and of-the dromon his he-appointed —
Μιχαὴλ ἐκεῖνον τὸν γέροντα, πρωτελάτην τῷ τότε καιρῷ
Michael that the old-man chief-rower at-the then time
δρομωνίου τυγχάνοντα, δευτεροελάτην δὲ γεγονότα τοῦ
of-(the)-dromon being second-rower and having-been of-the
ἀγραρίου Βασιλείου τοῦ φιλοχρίστου δεσπότου, καὶ τὸν
agrarion of-Basil the Christ-loving lord and the
ἕτερον Μιχαήλ, οὗ τὸ ἐπίκλην Βαρκαλᾶς, ὅστις ἦν
other Michael whose the surname Barkalas who was
πρότερον εἰς τὸ πλώϊμον πρωτελάτης τοῦ δρουγγαρίου
formerly in the fleet chief-rower of-the drungarius
Εὐσταθίου καὶ πατρικίου, ὅτε ἐπέρασε τοὺς Τούρκους
Eustathios and patrician when he-ferried-across the Turks
καὶ κατεπολέμησε τὸν Συμεὼν τὸν ἄρχοντα Βουλγαρίας.
and warred-down — Symeon the prince of-Bulgaria

οὗτος οὖν ὁ Συμεὼν ὁ ἄρχων Βουλγαρίας μαθὼν τὴν
this then — Symeon the prince of-Bulgaria having-learned the
τοῦ πλωΐμου πρὸς τὸν ποταμὸν ἄφιξιν, καὶ ὅτι μέλλει
of-the fleet to the river arrival and that is-about
τὸ πλώϊμον τοὺς Τούρκους κατ' αὐτοῦ περᾶσαι, ἐποίησε
the fleet the Turks against him to-ferry made
λέσας ἤτοι πλοκὰς ἰσχυρὰς πάνυ καὶ στερεμνίους, ὥστε
wattles that-is plaitings strong very and solid so-that
μὴ δύνασθαι τοὺς Τούρκους ἀντιπερᾶν· δι' ἣν ἐπίνοιαν
not to-be-able the Turks to-cross-over by which device
καὶ ἐκωλύθησαν οἱ Τοῦρκοι τὸ πρῶτον περᾶσαι. ὁ οὖν
also were-hindered the Turks the first(-time) to-cross the then
προρρηθεὶς Μιχαὴλ ὁ Βαρκαλᾶς μετὰ καὶ ἄλλων δύο
aforesaid Michael — Barkalas with also other two
πλωΐμων ἀναλαβόμενοι τὰ σκουτάρια καὶ σπαθία αὐτῶν,
seamen having-taken the shields and swords their
ἀνδρείῳ καὶ ῥωμαλέῳ ὁρμήματι ἐκπηδήσαντες τοῦ
with-(a)-brave and strong rush having-leapt from-the
χελανδίου κατέκοψαν τὰς λέσας ἤτοι τοὺς πλοκούς, καὶ
warship cut-down the wattles that-is the plaitings and
ἤνοιξαν τὸν πόρον Τούρκοις. τοῦτον οὖν τὸν Βαρκαλᾶν οἱ
opened the passage to-(the)-Turks this then — Barkalas the
Τοῦρκοι ἰδόντες καὶ τὸ ἀνδρεῖον αὐτοῦ ὑπερθαυμάσαντες,
Turks having-seen and the bravery his having-greatly-admired
ὅτι μόνος τῶν δύο προπορευόμενος πλωΐμων πρῶτος
that alone of-the two going-ahead seamen first
κατέκοψε τὸν πλοκόν, θαυμάσαντες εἶπον ὅτι τοῦτον
he-cut-down the plaiting having-wondered said that this-man
ἔπρεπεν ὀνομάζεσθαι πατρίκιον καὶ εἶναι κεφαλὴν τοῦ
it-befitted to-be-named patrician and to-be head of-the
πλωΐμου. τὴν οὖν τοῦ Βαρκαλοῦ ἀνδρειότητα ἀκούσας ὁ
καὶ πρωτεύοντος τῆς τῶν Χερσωνιτῶν, Ἀσάνδρου δὲ τῆς
and being-first of-the of-the Chersonites(-land) Asandros and the
Βοσποριανῶν βασιλεύοντος, κακίᾳ πολλῇ μεμεστωμένοι
of-Bosporans(-land) reigning with-wickedness much filled
οἱ Βοσποριανοὶ κατὰ τῶν Χερσωνιτῶν καὶ μηδαμῶς
the Bosporans against the Chersonites and in-no-way
δυνάμενοι τῇ πονηρίᾳ ἠρεμεῖν ἔσπευδον ἀεὶ τρόπῳ
being-able in-the malice to-be-quiet hastened always in-way
τινὶ τὴν ἀνταμοιβὴν τῶν αἰχμαλωσιῶν τοῖς Χερσωνίταις
some the requital of-the captivities to-the Chersonites
ἀποδοῦναι· καὶ δὴ μεμαθηκότες ἔχειν θυγατέρα μονογενῆ
to-pay and indeed having-learned to-have (a)-daughter only-begotten
τὴν Γυκίαν, ἔχοντος δὲ καὶ τοῦ Ἀσάνδρου υἱούς,
— Gykia having and also — Asandros sons
ἐμηχανῶντο ἐπιγαμβρίαν ποιήσασθαι, ὅπως διὰ τούτου
they-contrived (a)-marriage-alliance to-make so-that through this
ἀδεῶς ἐπιβαίνοντες τῇ Χερσωνιτῶν ἀμύνασθαι. καὶ
fearlessly setting-foot on-the of-(the)-Chersonites(-land) to-take-revenge and
δὴ ἀποστέλλουσι πρέσβεις κατὰ τὴν Χερσωνιτῶν
indeed they-send envoys to the of-(the)-Chersonites(-land)
παρακαλοῦντες, ἐὰν οἴδαμεν ὅτι ἀγάπη ἀληθὴς μεταξὺ ἡμῶν
exhorting if we-know that love true between us
ἐστὶν καὶ ἀδόλως πρὸς ἀλλήλους ἔχομεν, ἐπιγαμβρεύσομεν
is and without-guile toward each-other we-are we-will-ally-by-marriage
ἑαυτοῖς· καὶ δότε ἡμῖν εἰς νύμφην τὴν θυγατέρα Λαμάχου
ourselves and give us for (a)-bride the daughter of-Lamachos

τοῦ πρώτου ὑμῶν ἕνεκεν τοῦ υἱοῦ Ἀσάνδρου τοῦ κυρίου
the first your for-the-sake of-the son of-Asandros the lord
ἡμῶν, ἢ λάβετε αὐτὸν αὐτόθι εἰς γαμβρόν, καὶ οἴδαμεν ὅτι
our or take him there for son-in-law and we-know that
πιστὰ ἔχομεν εἰς ἀλλήλους, τοῦ υἱοῦ τοῦ βασιλεύοντος
pledges we-have toward each-other of-the son of-the reigning(-one)
μεθ' ὑμῶν. λέγουσιν αὐτοῖς οἱ Χερσωνῖται ὅτι ἡμεῖς
with you say to-them the Chersonites that we
πρὸς ὑμᾶς θυγατέρα ἡμῶν δοῦναι οὐκ ἀνεχόμεθα· εἰ
to you (a)-daughter our to-give not endure if
δὲ ἐκ τῶν υἱῶν Ἀσάνδρου τοῦ βασιλέως ὑμῶν θέλετε
and from the sons of-Asandros the king your you-wish
δοῦναι ἡμῖν εἰς γαμβρόν, δεχόμεθα, οὕτω μέντοι, μὴ
to-give us for son-in-law we-accept thus however not
δυναμένου ἔτι τοῦ υἱοῦ Ἀσάνδρου, τοῦ ἀρχομένου
being-able any-longer the son of-Asandros the(-one) beginning
πρὸς ἡμᾶς ἐπιγαμβρεύσασθαι, καιρῷ ποτὲ ἢ χρόνῳ
to us to-ally-by-marriage at-season any or time
πειραθῆναι τοῦ ὑποστρέψαι κατὰ τὴν τῶν Βοσποριανῶν
to-attempt of-the to-return to the of-the Bosporans(-land)
χάριν ἐπισκέψεως ἢ προσηγορίας τοῦ οἰκείου πατρός·
for-the-sake of-visit or of-greeting of-the own father
εἰ δὲ τοῦτο βούλει, πάντως ὅτι τῇ ὥρᾳ ἀποθνήσκει,
if and this he-wishes surely that in-the hour he-dies
τῶν δὲ πρέσβεων ἀπολυθέντων καὶ καταλαβόντων τὴν
the and envoys having-been-released and having-reached the
Βοσποριανῶν καὶ ταῦτα ἀναγγελλόντων, ἀπέστειλε πάλιν
of-Bosporans(-land) and these(-things) reporting sent again
ὁ Ἄσανδρος πρέσβεις, λέγων τοῖς Χερσωνίταις ὅτι ἐὰν
— Asandros envoys saying to-the Chersonites that if
ἀληθῶς λέγετε καὶ πιστοποιεῖτέ με ὅτι Λάμαχος ἀνέχεται
truly you-speak and assure me that Lamachos consents

ζεῦξαι τὴν θυγατέρα αὐτοῦ τῷ μειζοτέρῳ μου υἱῷ,
to-yoke the daughter his to-the elder my son
ἀποστελῶ ὑμῖν αὐτὸν ἐκεῖνον αὐτόθι ἐπιγαμβρεύσασθαι.
I-will-send to-you him himself there to-ally-by-marriage
ἦν δὲ Λάμαχος τοῖς τότε καιροῖς, ὡς λόγος, πλούτῳ
was and Lamachos in-the then times as (the)-account in-wealth
πολλῷ κομῶν ἔν τε χρυσίῳ καὶ ἀργυρίῳ παισί τε
much abounding in both gold and silver in-menservants both
καὶ παιδίσκαις καὶ ἀλόγοις διαφόροις καὶ κτήμασι πολλοῖς,
and maidservants and beasts various and possessions many
καὶ τέσσαρσι δὲ ῥεγεῶσι τὸν οἶκον αὐτοῦ ἐπικρατεῖν ἐν
and over-four too quarters the house his to-hold-sway in
πλάτει καὶ μήκει, ἕως κάτω τῶν λεγομένων Σουσῶν,
breadth and length as-far-as below the called Sousai
ἐν οἷς καὶ ἰδίαν πύλην εἶχεν ἐν τῷ τείχει, καὶ τέσσαρας
in which also (an)-own gate he-had in the wall and four
πυλεῶνας μεγάλους εἰς τὴν εἴσοδον καὶ τὴν ἔξοδον,
gateways great for the entrance and the exit
σὺν ἑτέροις δὲ παραπυλίοις σεμνοῖς ὥστε εἰσερχομένων
with other and side-gates stately so-that entering
τῶν ἀλόγων αὐτοῦ ἐν τῇ πόλει ἑκάστην ἀγέλην ζώων,
the beasts his into the city each herd of-animals
ἵππων τε καὶ φορβάδων, βοῶν καὶ δαμάλεων, προβάτων
of-horses both and of-brood-mares of-oxen and of-heifers of-sheep
τε καὶ ὄνων, καὶ δι' ἰδίας πύλας εἰσιέναι καὶ εἰς
both and of-asses also through own gates to-enter and to
ἰδίαν στάσιν ἀπιέναι. παρεκάλεσαν οὖν οἱ Χερσωνῖται
own stall to-go-away exhorted then the Chersonites
τὸν Λάμαχον ἐφ' ᾧτε ἐπιγαμβρεύσεσθαι αὐτὸν τὸν
— Lamachos on (condition)-that to-take-as-son-in-law him the
τοῦ Ἀσάνδρου υἱόν. τοῦ δὲ Λαμάχου ἐπινεύσαντος τῇ
— of-Asandros son — and Lamachos having-assented to-the

παρακλήσει αὐτῶν ἦλθεν ὁ τοῦ Ἀσάνδρου υἱὸς ἐν τῇ
exhortation their came the — of-Asandros son into —
Χερσῶνι καὶ ἔγημε τὴν γυναῖκα. καὶ διετοῦς μικροῦ
Cherson and married the woman and two-years little
χρόνου διαγενομένου ἐτελεύτησεν ὁ Λάμαχος· ἡ γὰρ
time having-passed died — Lamachos the for
μήτηρ τῆς Γυκίας προτελευτήσασα ἦν. ἡ οὖν Γυκία
mother — of-Gykia had-died-before was — then Gykia
μετὰ τὴν τοῦ ἐνιαυτοῦ περαίωσιν τῆς τοῦ πατρὸς ταφῆς
after the of-the year completion of-the of-the father burial
τῆς ἐνιαυσιαίας ἡμέρας ἐνστάσης, τὴν μνήμην θέλουσα
the anniversary day having-come the memory wishing
φαιδρῦναι τοῦ ἰδίου πατρός, στεφανηφοροῦντος τότε
to-brighten of-the own father wearing-the-crown then
καὶ πρωτεύοντος τῆς Χερσῶνος Ζήθου τοῦ Ζήθωνος,
and being-first — of-Cherson Zethos the(-son) of-Zethon
παρεκάλεσε τοῖς προύχουσι τῆς πόλεως ἐφ' ᾧτε
exhorted to-the leading-men of-the city on (condition)-that
ἄνευ ὕβρεως ἀναχθῆναι αὐτοὺς τοῦ λαβεῖν παρ' αὐτῆς
without insult to-be-brought-up them of-the to-receive from her
σὺν παντὶ τῷ δήμῳ οἶνόν τε καὶ ἄρτους καὶ ἔλαιον κρέα
with all the people wine both and loaves and oil meats
τε καὶ ὄρνεα καὶ ὄψα καὶ εἴ τι ἕτερον πρὸς τὴν τῆς
both and birds and relishes and if anything other for the of-the
εὐφρασίας χρείαν, πρὸς τὸ τὴν ἡμέραν τῆς μνήμης τοῦ
merriment need for the the day of-the memory —
Λαμάχου ἅπαντας τοὺς πολίτας σὺν γυναιξὶ καὶ τέκνοις
of-Lamachos all the citizens with wives and children
καὶ πάσῃ τῇ φαμιλίᾳ αὐτῶν εὐφρανθῆναι καὶ ἀγάλλεσθαι
and all the household their to-make-merry and to-exult
ἕκαστον ἐν τῷ ἰδίῳ ῥεγεῶνι καὶ δημοσίᾳ χορεύειν καὶ
each in the own quarter and publicly to-dance and

ἔργου τινὸς τὸ σύνολον μὴ ἅψασθαι, συνταξαμένη τοῖς
of-work any the at-all not to-touch having-arranged with-the
πολίταις ἐν ὅρκῳ ἐφ᾽ ᾧτε ἅπαντα τὸν χρόνον τῆς
citizens on oath on (condition)-that all the time of-the
ζωῆς αὐτῆς οὕτω τὰ τῆς εὐφρασίας καθ᾽ ἕκαστον
life her thus the(-things) of-the merriment by each
χρόνον διδόναι αὐτοῖς ἐν τῇ αὐτῇ τοῦ Λαμάχου μνήμῃ.
year to-give them on the same — of-Lamachos memorial
τούτων δὲ οὕτω γενομένων καὶ ἐν ὅρκῳ ὑπ᾽ αὐτῆς
these and thus having-happened and on oath by her
παγιωθέντων, ὁ ταύτης ἀνὴρ ὁ τοῦ Ἀσάνδρου υἱὸς ἔχων
having-been-made-firm the her husband the — of-Asandros son having
ἐν κρυπτῷ τὸν δόλον καὶ ἐπιζητῶν καιρὸν προδοσίας,
in secret the guile and seeking (an)-occasion of-treachery
ἀκούσας ταῦτα τὰ παρὰ τῆς Γυκίας λεχθέντα
having-heard these(-things) the(-things) by — Gykia said
καὶ ἐν ὅρκῳ παγιωθέντα, ἐθαύμασε καὶ ἐπῄνεσε τὴν
and on oath made-firm wondered and praised —
Γυκίαν ἐπὶ τῇ ἐνόρκῳ συντάξει ὡς γνησίως περὶ τοὺς
Gykia for the sworn arrangement as genuinely toward the
γονεῖς ἔχουσαν, συνθέμενος δὲ καὶ αὐτός, φησί, χαίρειν
parents being having-agreed and also he he-says to-rejoice
καὶ σπένδειν ἐπὶ τῇ τοιαύτῃ συντάξει. καὶ μετὰ τοῦτο
and to-pour-libation at the such arrangement and after this
παρελθούσης τῆς μνήμης καὶ τῆς εὐφρασίας δηλοῖ
having-passed the memorial and the merriment he-makes-known
τοῖς ἐν Βοσπόρῳ δι᾽ οἰκείου παιδός, λέγων αὐτοῖς ὅτι
to-those in Bosporus through own servant saying to-them that
εὗρον μέθοδον δι᾽ ἧς ἀκόπως τὴν Χερσῶνα μέλλομεν
I-have-found (a)-method through which without-toil — Cherson we-are-about
παραλαβεῖν. ὑμεῖς οὖν ἐκ διαλειμμάτων ἀποστέλλετέ μοι
to-take you then at intervals send me

δέκα ἢ δώδεκα νεωτέρους χρησίμους ἐκτὸς τῶν ἐν τῷ
ten or twelve young-men useful besides those on the
καράβῳ ἐλαυνόντων ὡς δῆθεν ξένιά μοι πέμποντες, ἐν
boat rowing as forsooth gifts to-me sending at
συμβόλῳ δὲ παραβαλλόντων τῶν ἐρχομένων καράβων
Symbolon and putting-in the coming boats
ὑμῶν καὶ ἐκεῖ μενόντων, ἐμοῦ δὲ πέμποντος καὶ δι᾽
your and there remaining I and sending and on
ἵππων φέροντος τοὺς ἐρχομένους νεωτέρους ἐν τῇ πόλει
horses bringing the coming young-men into the city
καὶ τὰ πεμπόμενα. καὶ δὴ τῷ τρόπῳ τούτῳ ἐπὶ
and the(-things) sent and indeed in-the way this for
διετῆ χρόνον ἐκ τοῦ κατὰ μέρος ἐρχομένων τῶν
(a)-two-year time from the by part coming the
Βοσποριανῶν μετὰ τῶν ξενίων, πρὸς τὸ μὴ γνωσθῆναι
Bosporans with the gifts for the not to-be-known
τῇ πόλει τὸν δόλον ἔφερε μὲν αὐτοὺς πεζικῶς ἐκ τοῦ
to-the city the guile he-brought indeed them on-foot from the
συμβόλου ὁ τοῦ Ἀσάνδρου υἱός, καὶ μετὰ ἡμέρας τινὰς
Symbolon the — of-Asandros son and after days some
πάλιν ἐπὶ πάντων πρὸς ἑσπέραν ἀπέλυεν αὐτούς, φησίν,
again before all toward evening he-released them he-says
ἐπὶ τὰ ἔξω, ὡς δῆθεν βραδέστερον διὰ τὴν ὥραν·
to the outside as forsooth rather-late because-of the hour
οἱ δὲ ἐξερχόμενοι ἐκ τῆς χώρας ἄχρι τριῶν μιλίων
they and going-out from the country up-to three miles
σκοτιᾶς βαθείας γενομένης ὑπέστρεφον καὶ ἤρχοντο ἐν τῷ
darkness deep having-come returned and came to the
λεγομένῳ λίμνῳ καὶ ἐκεῖθεν διὰ καράβου ἔφερεν αὐτοὺς
called lake and from-there by boat he-brought them
ἐν ταῖς Σώσαις, καὶ διὰ τοῦ παραπυλίου, ὃ εἶχεν ἐν
into the Sousai and through the side-gate which he-had in

τῷ τείχει, εἰσέφερεν αὐτοὺς ἐν τῷ οἴκῳ αὐτοῦ μηδενὸς
the wall brought them into the house his no-one
εἰδότος, εἰ μή τί γε τρεῖς τῶν παίδων αὐτοῦ τῶν
knowing if not something at-least three of-the servants his the
Βοσποριανῶν καὶ μόνον πιστῶν αὐτοῦ ὄντων, ἑνὸς μὲν
Bosporans and only trustworthy his being one indeed
τοῦ ἐν συμβόλῳ ἀπερχομένου καὶ μηνύοντος ἀναχωρεῖν
the(-one) at Symbolon going-away and announcing to-withdraw
τοὺς καράβους, ἄλλου δὲ τοῦ ὑποστρέφοντος τοὺς
the boats another and the(-one) bringing-back the
Βοσποριανοὺς καὶ φέροντος ἐν λιμῶνι, ἑτέρου δὲ τοῦ
Bosporans and bringing(-them) to (the)-harbor another and the(-one)
ἐκ λιμῶνος μετὰ καράβου ἀποκομίζοντος ἐν ταῖς Σώσαις
from (the)-harbor with boat carrying(-them) into the Sousai
καὶ ἀποκαθιστῶντος ἐν τῷ τοῦ Λαμάχου οἴκῳ, καὶ δι᾽
and settling(-them) in the — of-Lamachos house and through
ὧν ἀπέτρεφεν αὐτοὺς ἐν ταῖς ἀποθήκαις αὐτοῦ, μήτε
whom he-fed them in the storehouses his not-even
τῆς Γυκίας εἰδούσης τὸν δόλον, προσδοκῶν, καθὰ εἴρηται,
— Gykia knowing the guile expecting as has-been-said
κατὰ τὴν ἐνιαυσίαν ἡμέραν τῆς τοῦ Λαμάχου μνήμης,
on the anniversary day of-the — of-Lamachos memorial
τῆς πόλεως πάσης εὐφραινομένης τε καὶ ἀποκοιμωμένης,
the city all making-merry both and falling-asleep
αὐτὸν τὴν νύκτα ἐπαναστῆναι μετὰ τῶν Βοσποριανῶν
he the night to-rise-up with the Bosporans
τε καὶ οἰκείων καὶ ἐμπρῆσαι τὴν πόλιν καὶ πάντας
both and household and to-burn the city and all
κατασφάξαι. συναχθέντων δὲ ἐν τῷ διετεῖ χρόνῳ ἐν τῷ
to-slaughter having-been-gathered and in the two-year time in the
τῆς Γυκίας οἴκῳ ἄχρι διακοσίων Βοσποριανῶν, καὶ τῆς
— of-Gykia house up-to two-hundred Bosporans and the

μνήμης τοῦ Λαμάχου ἤδη λοιπὸν ἐγγιζούσης, ἐγένετο
memorial — of-Lamachos already then approaching it-happened
παιδίσκην τῆς Γυκίας κουβουκλαρέαν, πάνυ αὐτῇ οὖσαν
(a)-maidservant — of-Gykia chamber-maid very to-her being
προσφιλέστατον, πταίσασαν ἀπὸ ὄψεως αὐτῆς γενέσθαι
dearest having-offended out-of (the)-sight her to-be
καὶ ἀποκλεισθῆναι αὐτήν. ἐν ᾧ δὲ οἴκῳ ἀπεκλείσθη
and to-be-shut-up she in which and house was-shut-up
ἡ παιδίσκη, ὑποκάτωθεν αὐτοῦ ἦσαν οἱ Βοσποριανοὶ
the maidservant beneath it were the Bosporans
ἀποτρεφόμενοι. τῆς δὲ παιδίσκης καθεζομένης καὶ νηθούσης
being-fed the and maidservant sitting and spinning
τὸ λίνον, ἐγένετο τὸ σφοντύλιν τῆς ἀτράκτου πεσεῖν καὶ
the flax it-happened the whorl of-the spindle to-fall and
κυλισθὲν εἰσελθεῖν εἰς βαθυτάτην ὀπὴν πρὸς τὸν τοῖχον· ἡ
having-rolled to-go into (a)-very-deep hole by the wall she
δὲ ἀναστᾶσα πρὸς τὸ ἐπᾶραι αὐτὸ ὁρᾷ αὐτὸ ἐν βαθυτάτῃ
and having-risen for the to-pick-up it sees it in (a)-very-deep
ὀπῇ ὄν· καὶ μὴ δυναμένης αὐτῆς ἐκσπάσαι αὐτὸ διὰ
hole being and not being-able she to-pull-out it because-of
τὸ βάθος, ἠναγκάσθη ἐκ τοῦ πάτου πρὸς τὸν τοῖχον
the depth was-compelled from the floor by the wall
ἀνασπάσαι ἕνα βήσαλον πρὸς τὸ τοῦτο ἐπᾶραι· καὶ ὁρᾷ
to-pull-up one brick for the it to-pick-up and sees
διὰ τῆς ὀπῆς κάτω ἐν τῷ ὑπογέῳ οἴκῳ τὸ πλῆθος τῶν
through the hole below in the underground room the multitude of-the
ὄντων ἀνδρῶν. καὶ ἰδοῦσα εὐφυῶς πάλιν ἀπέθετο ἐν τῷ
being men and having-seen cleverly again put in the
τόπῳ τὸ βήσαλον πρὸς τὸ μὴ γνωσθῆναι τοῖς κάτω· καὶ
place the brick for the not to-be-known to-those below and
λαθραίως ἀποστείλασα μίαν τῶν παίδων προσεκαλεῖτο τὴν
secretly having-sent one of-the servants summoned the

κυρίαν αὐτῆς τοῦ ἐλθεῖν πρὸς αὐτήν, ὀφείλουσάν τι
mistress her of-the to-come to her (as)-needing something
ἀναγκαῖον ἀκοῦσαι καὶ ἰδεῖν. ἡ δὲ Γυκία ὑπὸ τοῦ θεοῦ
necessary to-hear and to-see — and Gykia by — God
κατανυγεῖσα ἀπῆλθε πρὸς τὴν παιδίσκην· καὶ εἰσελθούσης
pricked-in-heart went-away to the maidservant and having-come
αὐτῆς κατὰ μόνας ἐν τῷ οἰκήματι καὶ κλεισάσης τὴν
she in private into the room and having-shut the
θύραν, πεσοῦσα ἡ παιδίσκη πρὸς τοὺς πόδας αὐτῆς εἶπε
door having-fallen the maidservant at the feet her said
"δέσποινα, ἐξουσίαν ἔχεις τὴν ἀχρείαν σου δούλην·
lady authority you-have-over the unprofitable your slave-woman
πλὴν βούλομαι τῇ κυρίᾳ μου ξένον τι καὶ παράδοξον
but I-wish to-the mistress my strange something and incredible
πρᾶγμα δεῖξαι." ἡ δὲ Γυκία εἶπεν αὐτῇ "ἀφόβως εἰπέ,
(a)-thing to-show — and Gykia said to-her fearlessly speak
δεῖξον· καὶ τί τὸ τοιοῦτον;" ἡ δὲ παιδίσκη ἀπαγαγοῦσα
show and what the such(-thing) the and maidservant having-led
αὐτὴν πρὸς τὸν τοῖχον, καὶ εὐφυῶς ἐπάρασα τὸ βήσαλον,
her to the wall and cleverly having-lifted the brick
λέγει αὐτῇ "ὁρᾷς διὰ τῆς ὀπῆς, δέσποινα, τὸν κάτω
says to-her do-you-see through the hole lady the below
κρυπτόμενον ὄχλον τῶν Βοσποριανῶν." ἡ δὲ Γυκία
hidden crowd of-the Bosporans — and Gykia
ἰδοῦσα καὶ ἐκπλαγεῖσα ἐπὶ τῷ πράγματι ἔφη "οὐκ
having-seen and having-been-astounded at the thing said not
ἀργὸν τὸ σκέμμα τοῦτο." καὶ λέγει τῇ παιδίσκῃ "πῶς
idle the scheme this and says to-the maidservant how
εὗρες τὸ πρᾶγμα τοῦτο;" ἡ δὲ παιδίσκη λέγει "πάντως,
did-you-find the thing this the and maidservant says surely
δέσποινα, ὅτι ἐκ θελήματος θεοῦ ἔπεσε τὸ σφοντύλιν
lady that by (the)-will of-God fell the whorl

ἐκ τῆς ἀτράκτου μου καὶ κυλισθὲν εἰσῆλθεν ἐν τῇ ὀπῇ
from the spindle my and having-rolled went into the hole
ταύτῃ, καὶ μὴ δυναμένης μου ἐπᾶραι αὐτὸ ἠναγκάσθην
this and not being-able I to-pick-up it I-was-compelled
τὸ βήσαλον ἀνασπάσαι, καὶ τότε εἶδον αὐτούς." ἡ δὲ
the brick to-pull-up and then I-saw them she and
ἐκέλευσε τῇ παιδίσκῃ ἀποθέσθαι τὸ βήσαλον εὐφυῶς ἐν
ordered to-the maidservant to-put-back the brick cleverly in
τῷ τόπῳ αὐτοῦ, καὶ ἐπιλαβομένη αὐτῆς καὶ περιπλακεῖσα
the place its and having-taken-hold-of her and having-embraced(-her)
κατεφίλησε γνησίως, καὶ εἶπεν αὐτῇ· "μηδὲν πτοηθῇς,
kissed(-her) genuinely and said to-her nothing be-afraid
τέκνον. συγκεχώρηταί σου τὸ πταῖσμα· ὁ γὰρ θεὸς
child has-been-forgiven your the offense — for God
ἠθέλησέ σε πταῖσαι, ἵνα τὸν δόλον ἡμῖν φανερώσῃ.
willed you to-offend so-that the guile to-us he-might-reveal
βλέπε οὖν ὅσῃ δυνάμει φυλάξαι τὸ πρᾶγμα, καὶ μὴ
see then with-what power to-guard the thing and not
τολμήσῃς τινὶ τὸ σύνολον τοῦτο θαρρῆσαι." καὶ λοιπὸν
dare to-anyone the at-all this to-confide and thereafter
εἶχεν αὐτὴν δι' ὅλου μεθ' ἑαυτῆς πλέον τοῦ πρώτου
she-kept her through all with herself more than-the first(-time)
ὡς πιστὴν αὐτὴν οὖσαν. καὶ προσκαλεσαμένη ἡ Γυκία
as faithful her being and having-summoned — Gykia
δύο τινὰς τῶν συγγενῶν αὐτῆς, πιστοὺς αὐτῇ ὄντας πάνυ,
two some of-the kinsmen her faithful to-her being very
λέγει αὐτοῖς ἐν τοῖς ἰδιάζουσιν "ἀπελθόντες συνάγετε
says to-them in the private(-rooms) having-gone-away gather
καθ' ἑαυτοὺς ἐν μυστηρίῳ τοὺς πρωτεύοντας καὶ εὐγενεῖς
by yourselves in secret the first-men and nobles
τῆς πόλεως, καὶ ἐκλεξάτωσαν τρεῖς ἄνδρας πιστούς,
of-the city and let-them-choose three men faithful

δυναμένους φυλάξαι μυστήριον καὶ πρᾶγμα ποιῆσαι, καὶ
able to-keep (a)-secret and (a)-thing to-do and
πιστοποιήσουσιν αὐτοὺς οἱ πάντες ἐνόρκως πρὸς τὸ
will-assure them the all on-oath for the
καὶ αὐτοὺς ἐμὲ πληροφορῆσαι ἐν οἷς μέλλω
also them me to-satisfy in (the-things)-which I-am-about
ἐπερωτᾶν αὐτούς, καὶ ἀποστειλάτωσαν αὐτοὺς πρός με ἐν
to-ask them and let-them-send them to me in
μυστηρίῳ, καὶ ἔχω αὐτοῖς ἀναγκαῖόν τι καὶ ὠφέλιμον
secret and I-have for-them necessary something and useful
τῇ πόλει θαρρῆσαι. μόνον διὰ τάχους ποιήσατε ὃ
to-the city to-confide only with speed do what
λέγω ὑμῖν.” ἀπελθόντων δὲ τῶν συγγενῶν αὐτῆς καὶ ἐν
I-tell you having-gone-away and the kinsmen her and in
μυστηρίῳ ταῦτα τοῖς πρωτεύουσιν εἰρηκότων, εὐθέως
secret these(-things) to-the first-men having-told at-once
ἐξελέξαντο τρεῖς ἄνδρας, οὓς ᾔδεσαν αὐτοὶ πιστοὺς εἶναι,
they-chose three men whom knew they faithful to-be
καὶ πιστοποιήσαντες αὐτοὺς πάντες ἐν ὅρκῳ ὅτι εἴ τι
and having-assured them all on oath that if anything
συνθῶνται τῇ Γυκίᾳ εἴτε ποιῆσαι εἴτε δοῦναι, μὴ
they-agree — with-Gykia whether to-do or to-give not
ἀκυρῶσαι τοὺς λόγους αὐτῶν, ἀλλ’ εἰς πέρας ἀγαγεῖν
to-annul the words their but to (the)-end to-bring
τὰ ὑπ’ αὐτῶν συνταττόμενα αὐτῇ. τούτων δὲ πρὸς
the(-things) by them arranged with-her these and to
τὴν Γυκίαν ἐν μυστηρίῳ ἀπελθόντων, ἐδέξατο αὐτοὺς καὶ
— Gykia in secret having-gone-away she-received them and
λέγει αὐτοῖς “δύνασθέ με ἐν ὅρκῳ πληροφορῆσαι περὶ
says to-them can-you me on oath satisfy concerning
ὧν μέλλω ἐπερωτᾶν ὑμᾶς, ὅτι ποιεῖτε ταῦτα;”
(the-things)-which I-am-about to-ask you that you-do these(-things)

οἱ δὲ εἶπον αὐτῇ "ναί, κυρία, ἑτοίμως ἔχομεν περὶ
they and said to-her yes lady ready we-are concerning
ὧν μέλλεις ἡμῖν ἐπιζητεῖν πληροφορῆσαί σε ὅτι
(the-things)-which you-are-about of-us to-seek to-satisfy you that
εἰς πέρας ἄγωνται οἱ λόγοι σου." τότε λέγει αὐτοῖς ἡ
to (the)-end are-brought the words your then says to-them —
Γυκία "πληροφορήσατέ με ὅτι ἂν ἀποθάνω ἐν μέσῳ
Gykia satisfy me that if I-die in (the)-middle
τῆς πόλεώς με θάπτετε, καὶ λέγω ὑμῖν τὸ μυστήριόν μου.
of-the city me you-bury and I-tell you the secret my
ἰδοῦ βαρὺ ὑμῖν τί ποτε οὐκ ἐπιζητῶ." οἱ δὲ ἄνδρες
behold heavy to-you anything ever not I-seek the and men
ἀκούσαντες τοῦτο μετὰ πάσης προθυμίας ἐπληροφόρησαν
having-heard this with all eagerness satisfied
αὐτὴν ἐν ὅρκῳ, λέγοντες ὅτι ἐὰν τελευτήσῃς ἐν μέσῳ
her on oath saying that if you-die in (the)-middle
τῆς πόλεώς σε θάψομεν καὶ οὐκ ἐξάξομέν σε ἔξω τῶν
of-the city you we-will-bury and not we-will-carry you outside the
τειχῶν. ἡ δὲ Γυκία πεισθεῖσα τοῖς ὅρκοις αὐτῶν
walls — and Gykia having-been-persuaded by-the oaths their
λέγει αὐτοῖς "ἐφ' οἷς ἐπληροφορήσατέ με, κἀγὼ λοιπὸν
says to-them upon which you-have-satisfied me I-too then
ἐμφαίνω ὑμῖν τὸ μυστήριόν μου. ἰδοὺ εἰδέναι ὑμᾶς θέλω
reveal to-you the secret my behold to-know you I-wish
ὅτι ὁ ἀνήρ μου τὸ ἔμφυτον κακὸν τῆς πόλεως αὐτοῦ
that the husband my the inborn evil of-the city his
ἔχων, τὸ τοῦ δόλου καὶ φθόνου καθ' ἡμῶν, ὄχλον ἐκ
having the of-the guile and envy against us (a)-crowd from
τοῦ κατὰ μέρος Βοσποριανῶν ἐν κρυφῇ εἰσαγαγὼν ἐν τῷ
the by part Bosporans in secret having-brought-in into the
οἴκῳ μου ἄχρις διακοσίων ψυχῶν ἐνόπλων διατρέφει, ἐμοῦ
house my up-to two-hundred souls armed feeds I

μὴ εἰδυίας τὸ πρᾶγμα· ἀλλ᾽ ὁ θεὸς νῦν διὰ προφάσεως
not knowing the thing but — God now through (an)-occasion
ἐφανέρωσέ μοι αὐτό. αὐτὸς οὖν ταύτην ἔχει τὴν σκέψιν
revealed to-me it he then this has the scheme
ἐφ᾽ ᾧτε, φησίν, εἰς τὴν μνήμην τοῦ πατρός μου
on (condition)-that he-says on the memorial of-the father my
διδούσης μου τὴν εὐφρασίαν τῇ πόλει καὶ εὐφρανθέντων
giving I the merriment to-the city and having-made-merry
ὑμῶν ἀποκοιμωμένων αὐτὸν τὴν νύκτα ἐπαναστῆναι μετὰ
you falling-asleep he the night to-rise-up with
τῶν συνόντων αὐτῷ Βοσποριανῶν τε καὶ οἰκείων, καὶ
the(-ones) being-with him Bosporans both and household and
βαλεῖν ἐμπρησμὸν ἐν τοῖς οἴκοις ὑμῶν καὶ κατασφάξαι
to-throw fire in the houses your and to-slaughter
πάντας ὑμᾶς. ἰδοὺ λοιπὸν φθάζει καὶ ἡ μνήμη τοῦ πατρός
all you behold then arrives also the memorial of-the father
μου, καὶ δέον μέν ἐστι πρὸς τὸν ὅρκον μου δοῦναι
my and needful indeed it-is according-to the oath my to-give
ὑμῖν κατὰ τὸ ἔθος μου τὰ τῆς εὐφρασίας· πάντα
you according-to the custom my the(-things) of-the merriment all
γὰρ ἑτοίμως ἔχω. θελήσατε οὖν πάντες προσδραμεῖν
for ready I-have be-willing then all to-run-up
χαίροντες καὶ ζητῆσαι καὶ λαβεῖν πάντα προθύμως,
rejoicing and to-ask and to-take all eagerly
πρὸς τὸ μήπω νοῆσαι αὐτὸν ὅτι ἔγνωμεν τὸ πρᾶγμα,
for the not-yet to-perceive him that we-have-known the thing
καὶ ἄφνω ἐμφύλιος πόλεμος γένηται. θελήσατε οὖν καὶ
and suddenly civil war arise be-willing then also
δημοσίως κατὰ τὸ ἔθος εὐφραίνεσθαι, συμμέτρως δέ,
publicly according-to the custom to-make-merry moderately but
καὶ χορεύειν ἐν ταῖς πλατείαις. ἑτοιμάσατε δὲ ἕκαστος ἐν
and to-dance in the streets prepare and each in

τοῖς οἴκοις ὑμῶν ξύλα τε καὶ φορτία καὶ δᾷδας στεγνὰς
the houses your wood both and loads and torches dry
πρὸς τὸ μισοποιούντων ὑμῶν τὰς εὐφρασίας καὶ τοὺς
for the half-finishing you the merriments and the
χοροὺς δόξασθαι πρὸς ἀνάπαυσιν ὑμῶν ἀπιέναι. καὶ ἐμοῦ
dances to-be-thought for rest your to-go-away and I
δὲ ταχέστερον μισοποιησάσης καὶ κελευούσης ἀσφαλισθῆναι
too more-quickly having-half-finished and ordering to-be-secured
τοὺς πυλεῶνάς μου, ὑμεῖς εὐθέως ἐν ἡσυχίᾳ πολλῇ σὺν
the gateways my you at-once in quiet much with
παισὶ καὶ παιδίσκαις ὑμῶν πανοικὶ παρενεγκόντες
servants and maidservants your with-all-the-household having-brought
τὰ ξύλα καὶ φορτία καὶ δᾷδας παράθετε ταῦτα ἐν τοῖς
the wood and loads and torches set these at the
πυλεῶσί μου καὶ παραπυλίοις καὶ κύκλῳ τῆς οἰκίας πάσης,
gateways my and side-gates and around the house all
ἐπιχέαντες καὶ ἔλαιον τοῖς ξύλοις πρὸς τὸ τάχιον ἀφθῆναι.
having-poured also oil on-the wood for the more-quickly to-be-kindled
καὶ ἡνίκα ἐξέλθω ἐγὼ καὶ εἴπω ὑμῖν, εὐθέως λάβετε τὴν
and when go-out I and say to-you at-once take the
πυράν, καὶ ὑμεῖς δὲ ἐν ὅπλοις παρεστήκετε κύκλῳ τῆς
fire and you too in arms stand-by around the
οἰκίας, ἵνα ὅπου τινὰς θεωρήσητε ἐκπηδῶντας ἐκ τοῦ
house so-that where anyone you-behold leaping-out from the
οἴκου διὰ θυρίδος τούτους κατασφάζητε. ἀπελθόντες οὖν
house through (a)-window these you-may-slaughter having-gone-away then
τὸ μυστήριον τοῦτο λαλήσατε, καὶ ἑτοιμάσατε πάντα ἃ
the secret this tell and prepare all-things which
εἶπον ὑμῖν." οἱ δὲ πολῖται ταῦτα ἀκούσαντες ἀπὸ τῶν
I-said to-you the and citizens these(-things) having-heard from the
τριῶν ἀνδρῶν ἐποίησαν πάντα ἐν συντομίᾳ κατὰ τὸν
three men did all-things in haste according-to the

λόγον τῆς Γυκίας. ἐνστάσης δὲ τῆς μνημοσύνου ἡμέρας,
word — of-Gykia having-come and the memorial day
ὡς δῆθεν χαιρομένη ἡ Γυκία μετεπέμψατο τοὺς τῆς
as forsooth rejoicing — Gykia sent-for the of-the
πόλεως ἄνδρας, προτρεπομένη τοῦ λαβεῖν αὐτοὺς τὰ
city men urging(-them) of-the to-take them the(-things)
τῆς εὐφρασίας· συνέτρεχε δὲ καὶ ὁ ἀνὴρ αὐτῆς ἐπὶ
of-the merriment ran-together and also the husband her for
τοῦτο, καὶ παρεκάλει πλεῖον οἶνον δοθῆναι αὐτοὺς ἐπὶ
this and urged more wine to-be-given them for
τῇ εὐφρασίᾳ. οἱ δὲ πολῖται ἀσμένως πάντα δεξάμενοι
the merriment the and citizens gladly all-things having-received
ηὐφραίνοντο καθὼς παρηγγέλθησαν, καὶ ἐχόρευον τὴν
made-merry as they-had-been-charged and danced the
πᾶσαν ἡμέραν· φθασάσης δὲ τῆς ἑσπέρας ἤρξαντο
whole day having-come and the evening began
μισοποιεῖν οἱ πολῖται καὶ ἀπιέναι ἐν τοῖς οἴκοις αὐτῶν
to-half-finish the citizens and to-go-away to the houses their
εἰς τὸ ἀναπαῆναι. ηὐφραίνοντο δὲ πανοικί. καὶ ἡ
for the to-rest made-merry and with-all-the-household also —
Γυκία ἐν τῷ οἴκῳ αὐτῆς προτρεπομένη πάντας τοὺς αὐτῆς
Gykia in the house her urging all those her
ἀδεῶς πίνειν πρὸς τὸ μεθυσθέντας αὐτοὺς τάχιον
fearlessly to-drink for the having-been-made-drunk them more-quickly
κοιμηθῆναι, μόνον ταῖς κουβικουλαρίαις αὐτῆς παρήγγειλε
to-fall-asleep only to-the chamber-maids her she-charged
τοῦ νήφειν καὶ ἑαυτὴν τοῦ οἴνου ἐφύλαττεν. εὑροῦσα
of-the to-be-sober and herself from-the wine she-guarded having-found
γὰρ ποτήριον πορφυροῦν δέδωκε τῇ κουβικουλαρέᾳ αὐτῆς
for (a)-cup purple she-gave to-the chamber-maid her
τῇ τὸ πρᾶγμα εἰδούσῃ, καὶ παρήγγειλεν αὐτῇ ἐν αὐτῷ
the(-one) the thing knowing and charged her in it

αὐτὴν κιρνᾶν σὺν ὕδατι· ὁ δὲ ἀνὴρ αὐτῆς θεωρῶν τὸ
her to-mix with water the and husband her seeing the
πορφυροῦν ποτήριον οὐχ ὑπενόει σὺν ὕδατι αὐτὴν πίνειν.
purple cup not suspected with water her to-drink
τῆς δὲ ἑσπέρας φθασάσης καὶ τῶν πολιτῶν, ὡς ἤδη
the and evening having-come and the citizens as already
εἶπον, μισοποιησάντων, λέγει τῷ ἀνδρὶ αὐτῆς ἡ Γυκία
I-said having-half-finished says to-the husband her — Gykia
"εὐφρανθέντων ἡμῶν δεῦρο λοιπὸν ἀναπαυθῶμεν καὶ
having-made-merry we come now let-us-rest also
ἡμεῖς." ὃ δὴ ὁ ἀνὴρ αὐτῆς ἀκούσας μᾶλλον ἐχάρη,
we which indeed the husband her having-heard more rejoiced
καὶ ἔπεσε τοῦ κοιμηθῆναι· οὐ γὰρ ἠδύνατο ἀφ' ἑαυτοῦ
and fell of-the to-sleep not for he-was-able of himself
εἰπεῖν τοῦτο, μήπως ὑπόνοιαν δῷ τῇ γυναικὶ περὶ
to-say this lest suspicion he-give to-the wife about
οὗ ἐβουλεύετο δόλου. κελεύει οὖν ἡ Γυκία ἀσφαλισθῆναι
which he-was-planning guile orders then — Gykia to-be-secured
τοὺς πυλεῶνας καὶ πάντα τὰ παραθύρια καὶ ἐνεχθῆναι
the gateways and all the side-doors and to-be-brought
αὐτῇ τὰς κλεῖς κατὰ τὸ ἔθος· καὶ τούτου γενομένου
to-her the keys according-to the custom and this having-happened
λέγει ἐν τῷ λεληθότι τῇ πιστῇ αὐτῆς κουβικουλαρέᾳ
she-says in the having-escaped-notice to-the faithful her chamber-maid
τῇ τὸν δόλον εἰδούσῃ ὅτι θέλησον σὺν ταῖς λοιπαῖς
the(-one) the guile knowing that be-willing with the other
κουβικουλαρέαις εὐφυῶς ἐπᾶραι πάντα τὰ κόσμιά μου καὶ
chamber-maids cleverly to-take-up all the ornaments my and
τὸ χρυσίον καὶ εἴ τι χρήσιμον δύνασθε ἐγκολπίσασθαι,
the gold and if anything useful you-are-able to-put-in-your-bosom
καὶ ἑτοιμάσατε ἑαυτὰς ἵνα ὅταν εἴπω ὑμῖν, ἀκολουθήσατέ
and prepare yourselves so-that when I-say to-you follow

μοι. αἱ δὲ ποιήσασαι κατὰ τὴν κέλευσιν αὐτῆς ἦσαν
me they and having-done according-to the order her were
ἕτοιμαι. τοῦ δὲ ἀνδρὸς αὐτῆς δῆθεν ἀνακλιθέντος τοῦ ἐκ
ready the and husband her forsooth having-lain-down of-the from
συντόμου κοιμηθῆναι διὰ τάχους αὐτὸν πάλιν ἀναστῆναι
short to-sleep with speed him again to-rise
πρὸς ἐπιβουλὴν τῆς πόλεως, ἡ δὲ Γυκία παρέσυρε τοῦ
for plot of-the city — and Gykia drew-on(-him) of-the
καθευδῆσαι ἕως ἂν πᾶσα ἡ φαμιλία αὐτῶν ἐκοιμήθη·
to-sleep until — all the household their had-fallen-asleep
ὁ δὲ ἀνὴρ αὐτῆς ἐκ τοῦ πολλοῦ πότου ἀφύπνωσεν. ἡ
the and husband her from the much drinking fell-fast-asleep —
δὲ Γυκία ἰδοῦσα τοῦτον κοιμηθέντα εὐφυῶς τὸν κοιτῶνα
and Gykia having-seen him asleep cleverly the bedchamber
τῷ κλειδίῳ ἠσφαλίσατο, ἀποκλείσασα τὸν ἄνδρα, καὶ
with-the key secured having-shut-in the husband and
κατελθοῦσα ἐκ τοῦ οἴκου σὺν ταῖς κουβικουλαρέαις αὐτῆς,
having-gone-down from the house with the chamber-maids her
ἐξελθοῦσα τῶν παραπυλίων ἡσύχως καὶ κλείσασα,
having-gone-out-of the side-gates quietly and having-shut(-them)
εὐθέως ἐπέτρεψε τοῖς τῆς πόλεως διὰ τάχους ἐμβληθῆναι
at-once she-committed to-those of-the city with speed to-be-thrown
τὸ πῦρ κύκλῳ τοῦ οἴκου. βληθέντος δὲ τοῦ πυρὸς
the fire around the house having-been-thrown and the fire
καὶ τοῦ οἴκου ἀναφθέντος, εἴ πού τις τῶν ἔσωθεν
and the house having-been-kindled if anywhere anyone of-those inside
ὄντων ἐκπηδῆσαι ἐδυνήθη ἢ ἑαυτὸν ῥῖψαι, ὑπὸ τῶν
being to-leap-out was-able or himself to-throw by the
πολιτῶν κατεσφάγη. τοῦ δὲ οἴκου παντὸς καὶ τῶν ἐν
citizens he-was-slaughtered the and house all and those in
αὐτῷ ἕως ἐδάφους καταφλεχθέντων διέσωσεν ὁ θεὸς τὴν
it to (the)-ground having-been-burned-down saved — God the

Χερσωνιτῶν πόλιν ἐκ τῶν ἐπιβούλων Βοσποριανῶν. ἡ δὲ
of-(the)-Chersonites city from the plotting Bosporans — and
Γυκία βουλομένων τῶν πολιτῶν τὴν καταφλεχθεῖσαν αὐτῆς
Gykia wishing the citizens the burned-down her
οἰκίαν ὀρύξαι καὶ καθᾶραι τὸν τόπον πρὸς οἰκοδομὴν οὐκ
house to-dig and to-clear the place for building not
εἴασεν, ἀλλὰ μᾶλλον ἐπέτρεψε πάσῃ πόλει φέρειν ἕκαστον
allowed but rather committed to-all (the)-city to-bring each
αὐτῶν καὶ ἐγχέειν αὐτόθι τὴν πᾶσαν αὐτῶν κοπρίαν πρὸς
of-them and to-pour-in there the whole their dung for
τὸ ἐν αὐτοῖς καταχωσθῆναι τὴν πᾶσαν αὐτῆς οἴκησιν
the in them to-be-buried the whole her dwelling
ὡς πρὸς ἐπιβουλὴν τῆς πόλεως γενομένην· διὸ καὶ
as for plot of-the city having-been(-used) therefore also
ἐκλήθη ὁ τόπος Λαμάχου σκοπὴ ἕως τῆς σήμερον.
was-called the place of-Lamachos (the)-lookout until the today
Τούτων οὖν ἁπάντων γενομένων, ἰδόντες οἱ Χερσωνῖται
these then all having-happened having-seen the Chersonites
τὴν τοιαύτην ἄπειρον ὑπὸ τῆς Γυκίας εἰς αὐτοὺς μετὰ
the such boundless by — Gykia to them after
θεὸν γενομένην εὐεργεσίαν, καὶ ὅτι οὐδενὸς τῶν αὐτῆς
God having-come benefaction and that none of-the her(-things)
τὸ σύνολον ἐφείσατο ἀλλὰ τὴν σωτηρίαν τῆς πόλεως
the at-all she-spared but the safety of-the city
προετιμήσατο, ὑπὲρ τῆς τοιαύτης μισθαποδοσίας δύο χαλκοῦς
preferred for the such repayment two bronze
ἀνδριάντας πρὸς τιμὴν αὐτῆς ἐν τῇ πλατείᾳ τῆς πόλεως
statues for honor her in the square of-the city
ἀνήγειραν, νεάζουσαν αὐτὴν τῇ ἡλικίᾳ δεικνύοντες, καθ' ὃν
raised youthful her in-the age showing at which
καιρὸν ἦν τότε συμβαίνουσα, ἐν τούτοις δεικνύοντες καὶ
time she-was then happening(-to-be) in these showing also

τὴν αὐτῆς ἄφατον εὐεργεσίαν καὶ στοργὴν περὶ τοὺς πολίτας,
the her unspeakable benefaction and affection toward the citizens
ὅτι καὶ ἐν ἡλικίᾳ νέα οὖσα οὕτως ἐφρόνησε τὴν ἰδίαν
that also in age young being thus she-was-minded the own
πατρίδα μετὰ θεὸν περισῶσαι. ἐν μὲν γὰρ τῇ μιᾷ στήλῃ
fatherland after God to-save in indeed for the one statue
σωφρόνως αὐτὴν κεκαλλωπισμένην στήσαντες, καὶ τὰ
modestly her adorned having-set and the(-things)
τῆς ἐπιβουλῆς τοῦ οἰκείου ἀνδρὸς τοῖς πολίταις ἐμφαίνουσαν,
of-the plot of-the own husband to-the citizens revealing
ἐν δὲ τῇ ἑτέρᾳ ἐναγώνιον αὐτὴν καὶ ἐπαμυνομένην κατὰ
in and the other anxious her and defending-herself against
τῶν τῆς πόλεως ἐπιβούλων ἀποδεικνύοντες· ἐν οἷς καὶ
the of-the city plotters showing in which also
ἐπέγραψαν ἐν τῇ τοῦ ἀνδριάντος αὐτῆς βάσει ἅπασαν τὴν
they-inscribed on the of-the statue her base all the
ὑπ᾽ αὐτῆς μετὰ θεὸν γενομένην τοῖς πολίταις εὐεργεσίαν.
by her after God having-come to-the citizens benefaction
εἴπερ μέλλει τις εἶναι φιλόκαλος, τῆς αὐτῆς συνεχῶς
if is-about anyone to-be lover-of-the-beautiful of-the same continually
κατὰ καιρὸν τὴν βάσιν ἀποσμήχει πρὸς τὴν τῶν ἐν αὐτῇ
at times the base he-scours for the of-the(-things) on it
γενομένων ἀνάγνωσίν τε καὶ ὑπόμνησιν τῶν ὑπ᾽
having-been(-written) reading both and remembrance of-the(-things) by
αὐτῆς γενομένων, ἔλεγχον δὲ τῶν ἐπιβούλων Βοσποριανῶν.
her done refutation and of-the plotting Bosporans
Μετὰ δὲ χρόνους τινὰς στεφανηφοροῦντος καὶ πρωτεύοντος
after and years some wearing-the-crown and being-first
τῶν Χερσωνιτῶν Στρατοφίλου τοῦ Φιλομούσου, πάνυ
of-the Chersonites Stratophilos the(-son) of-Philomousos very
σοφωτάτη οὖσα ἡ Γυκία καὶ θέλουσα δοκιμάσαι τοὺς
most-wise being — Gykia and wishing to-test the

Χερσωνίτας καὶ γνῶναι εἰ ἄρα ἀληθῶς μέλλωσι τὴν τοῦ
Chersonites and to-know if then truly they-are-about the of-the
ὅρκου ὑπόσχεσιν ἐκπληροῦν καὶ θάπτειν αὐτὴν ἐν μέσῳ
oath promise to-fulfill and to-bury her in (the)-middle
τῆς πόλεως, συλλογισαμένη μετὰ τῶν παιδισκῶν αὐτῆς
of-the city having-reasoned with the maidservants her
ἐποίησεν ἑαυτήν τινα ἀηδιζομένην καὶ ἀποθανοῦσαν· καὶ
made herself as-it-were ailing and having-died and
κηδεύσασαι αὐτὴν αἱ παιδίσκαι ἐμήνυσαν τοῖς πολίταις,
having-laid-out her the maidservants announced to-the citizens
λέγουσαι ὅτι ἡ κυρία ἡμῶν ἐτελεύτησε, καὶ ἐν ποίῳ τόπῳ
saying that the mistress our has-died and in what place
μέλλει θάπτεσθαι, ὑποδείξατε ἡμῖν. οἱ δὲ Χερσωνῖται
she-is-about to-be-buried show us the and Chersonites
ἀκούσαντες ὅτι τέθνηκεν ἡ Γυκία, σκεψάμενοι καθ' ἑαυτοὺς
having-heard that has-died — Gykia having-considered among themselves
οὐκέτι τὸ ἱκανὸν τοῦ ὅρκου ἔσπευσαν ποιῆσαι ὥστε ἐν
no-longer the sufficient(-part) of-the oath hastened to-do so-that in
μέσῳ τῆς πόλεως αὐτὴν ταφῆναι, ἀλλὰ ἄραντες αὐτὴν
(the)-middle of-the city she to-be-buried but having-lifted her
ἐξήνεγκαν ἔξω τῆς πόλεως αὐτὴν ταφῆναι. ἀποτεθέντος
carried(-her)-out outside the city her to-be-buried having-been-set-down
δὲ τοῦ κραβάτου πρὸς τὸ μνῆμα ἀνακαθίσασα ἡ Γυκία,
and the bier at the tomb having-sat-up — Gykia
καὶ περιβλεψαμένη πάντας τοὺς πολίτας, λέγει "αὕτη ὑμῶν
and having-looked-round-at all the citizens says this your
ἐστὶν ἡ μετὰ ὅρκου ὑπόσχεσις; οὕτως ἀληθεύετε περὶ
is the with oath promise thus you-speak-truth about
πάντων; ἀβάλα λοιπὸν τῷ πιστεύοντι Χερσωνίτῃ πολίτῃ."
all-things alas then to-the trusting Chersonite citizen
οἱ δὲ Χερσωνῖται ἰδόντες τὴν ὑπ' αὐτῆς γενομένην αὐτῶν
the and Chersonites having-seen the by her having-come their

χλεύην, αἰσχυνθέντες μεγάλως ἐπὶ τῷ γεγονότι τῆς
mockery having-been-ashamed greatly at the having-happened of-the
παραβάσεως πράγματι, παρεκάλουν αὐτὴν πολλὰ τοῦ
transgression matter begged her much of-the
ἡσυχάσαι καὶ παραχωρῆσαι αὐτοῖς τὸ πταῖσμα καὶ μὴ
to-be-quiet and to-forgive them the offense and not
ἐπὶ πλεῖον ὀνειδίζειν αὐτοῖς. λοιπὸν δευτέροις ὅρκοις αὐτὴν
to more to-reproach them then with-second oaths her
ἐπιστώσαντο ὥστε μηκέτι ἔξω τῆς πόλεως θάψαι αὐτήν,
they-assured so-that no-longer outside the city to-bury her
ἀλλ' ἐν μέσῳ τῆς πόλεως. ὃ δὴ καὶ ἐποίησαν·
but in (the)-middle of-the city which indeed also they-did
καὶ γὰρ αὐτῆς ζώσης ἔτι ἐν ᾧ τόπῳ ἡρετίσατο τὴν
and for her living still in which place she-chose the
σορὸν αὐτῆς ἐστήσαντο, καὶ ἀνδριάντα χαλκὸν καὶ ἕτερον
coffin her they-set-up also (a)-statue bronze and another
ἤγειραν, καὶ τοῦτον χρυσώσαντες ἔστησαν πρὸς τῇ ταφῇ
they-raised and this-one having-gilded set by the tomb
αὐτῆς πρὸς περισσοτέραν πίστωσιν.
her for greater assurance
Ἰστέον ὅτι ἔξω τοῦ κάστρου Ταμάταρχα πολλαὶ
(one)-must-know that outside the fortress Tamatarcha many
πηγαὶ ὑπάρχουσιν ἄφθαν ἀναδιδοῦσαι.
springs are naphtha sending-up
Ἰστέον ὅτι ἐν Ζηχίᾳ πρὸς τὸν τόπον τῆς Πάγης τῆς
(one)-must-know that in Zichia toward the place — of-Page the(-one)
οὔσης πρὸς τὸ μέρος τῆς Παπαγίας, ἐν ᾧ κατοικοῦσι
being toward the part — of-Papagia in which dwell
Ζηχοί, ἐννέα πηγαὶ εἰσὶν ἄφθαν ἀναδιδοῦσαι· πλὴν οὐχ
Zichians nine springs are naphtha sending-up but not

ὁμοχροοῦσι τῶν ἐννέα πηγῶν τὰ ἔλαια, ἀλλὰ τὰ μὲν ἐξ
are-of-one-color of-the nine springs the oils but the indeed of
αὐτῶν εἰσὶν ἐρυθρὰ τὰ δὲ ξανθὰ τὰ δὲ μελανώτερα.
them are red the(-others) and yellow the(-others) and blacker
Ἰστέον ὅτι ἐν Ζηχίᾳ ἐν τῷ τόπῳ τῷ καλουμένῳ
(one)-must-know that in Zichia in the place the(-one) called
Πάπαγι, ἐν ᾧ καὶ πλησίον ἔστι χωρίον ἐπονομαζόμενον
Papagi in which also near is (a)-village named
Σαπαξί, ὃ ἑρμηνεύεται κονιορτός, ἔστιν ἐκεῖσε βρύσις
Sapaxi which is-interpreted dust there-is there (a)-fountain
ἄφθαν ἀναδιδοῦσα.
naphtha sending-up
Ἰστέον ὅτι καὶ ἑτέρα βρύσις ἔστιν ἐκεῖσε ἄφθαν
(one)-must-know that also another fountain is there naphtha
ἀναδιδοῦσα ἐν τῷ χωρίῳ τῷ καλουμένῳ Χαμούχ.
sending-up in the village the(-one) called Chamouch
τὸ δὲ Χαμούχ ἐστιν ὄνομα τοῦ συστησαμένου ἀρχαίου
— and Chamouch is (the)-name of-the having-founded ancient
ἀνδρὸς τὸ χωρίον· τὸ οὖν χωρίον ἐκεῖνο διὰ τοῦτο
man the village the then village that because-of this
ἐκλήθη Χαμούχ. ἀπέχουσι δὲ οἱ τοιοῦτοι τόποι ἀπὸ τῆς
was-called Chamouch are-distant and the such places from the
θαλάσσης ὁδὸν ἰδιοκαβάλλου ἡμέρας μιᾶς.
sea (a)-journey of-single-horseman of-day one
Ἰστέον ὅτι ἐν τῷ θέματι Δερζηνῆς, πλησίον τοῦ
(one)-must-know that in the theme of-Derzene near the
χωρίου τὰ Σαπικίου καὶ τοῦ χωρίου τοῦ ὀνομαζομένου
village — Sapikiou and the village the(-one) named
Ἐπισκοπίου, ἔστι πηγὴ ἄφθαν ἀναδιδοῦσα.
Episkopion is (a)-spring naphtha sending-up

Ἰστέον ὅτι ἐν τῷ θέματι τοῦ Τζιλιάπερτ ὑπὸ τὸ
(one)-must-know that in the theme — of-Tziliapert under —
Σρεχιαβαρὰξ ἔστιν ἐκεῖσε πηγὴ ἄφθαν ἀναδιδοῦσα.
Srechiabarax there-is there (a)-spring naphtha sending-up
Ἰστέον ὅτι εἰ ἀντάρωσί ποτε οἱ τοῦ κάστρου
(one)-must-know that if rebel ever those of-the fortress
Χερσῶνος ἢ ἐναντία τῶν βασιλικῶν κελεύσεων βουληθῶσι
of-Cherson or contrary-to the imperial orders wish
διαπράξασθαι, ὀφείλουσι τηνικαῦτα ὅσα εὑρεθῶσιν ἐν
to-act they-ought then as-many-as be-found in
τῇ πόλει Χερσωνιτικὰ καράβια μετὰ τοῦ γόμου αὐτῶν
the city Chersonite ships with the cargo their
εἰσκομίζεσθαι· οἱ δὲ ναῦται καὶ ἐπιβάται Χερσωνῖται ἵνα
to-be-confiscated the and sailors and passengers Chersonites that
δεσμεύωνται καὶ ἐναποκλείωνται εἰς τὰ ἐργαλεῖα, εἶθ᾽
they-be-bound and shut-up in the workhouses then
οὕτως ὀφείλουσιν ἀποσταλῆναι τρεῖς βασιλικοί, εἷς μὲν ἐν
thus ought to-be-sent three imperial-agents one indeed on
τῇ παραλίᾳ τοῦ θέματος τῶν Ἀρμενιακῶν, ἕτερος δὲ ἐν
the coast of-the theme of-the Armeniakoi another and on
τῇ παραλίᾳ τοῦ θέματος Παφλαγονίας, καὶ ἄλλος ἐν τῇ
the coast of-the theme of-Paphlagonia and another on the
παραλίᾳ τοῦ θέματος τῶν Βουκελλαρίων, ἵνα πάντα τὰ
coast of-the theme of-the Boukellarioi that all the
Χερσωνιτικὰ καράβια κρατῶσι, καὶ τὸν μὲν γόμον καὶ τὰ
Chersonite ships they-seize and the indeed cargo and the
καράβια εἰσκομίζωσι, τοὺς δὲ ἀνθρώπους δεσμεύωσι καὶ
ships confiscate the and men bind and
ἐναποκλείωσιν εἰς δημοσίους φυλακάς, καὶ ἀναγάγωσι περὶ
shut-up in public prisons and refer about
τούτων καὶ ὡς ἂν δέξωνται. πρὸς τούτοις ἵνα
these(-things) and as — they-receive(-orders) in-addition-to these that

οἱ τοιοῦτοι βασιλικοὶ κωλύωσι καὶ τὰ Παφλαγονικὰ καὶ
the such imperial-agents prevent also the Paphlagonian and
Βουκελλαρικὰ πλοῖα καὶ πλαγιτικὰ τοῦ Πόντου τοῦ μὴ
Boukellarian vessels and coastal(-craft) of-the Pontus of-the not
διαπερᾶν ἐν Χερσῶνι μετὰ σίτου ἢ οἴνου ἢ οἱας δήποτε
to-cross to Cherson with grain or wine or of-what soever
χρείας ἢ πράγματος. εἶθ' οὕτως ὀφείλει δέξασθαι καὶ
need or merchandise then thus ought to-receive(-orders) also
ὁ στρατηγὸς τοῦ κόψαι καὶ τὰς δέκα λίτρας τὰς
the general of-the to-cut-off also the ten pounds the(-ones)
διδομένας ἀπὸ τοῦ δημοσίου εἰς τὸ κάστρον Χερσῶνος
given from the treasury to the fortress of-Cherson
καὶ τὰς δύο τοῦ πάκτου, καὶ τηνικαῦτα ἀναχωρῆσαι
and the two of-the tribute and then to-withdraw
ἀπὸ Χερσῶνος τὸν στρατηγόν, καὶ ἀπελθεῖν ἐν ἑτέρῳ
from Cherson the general and to-go-away to another
κάστρῳ, καὶ καθεσθῆναι ἐκεῖσε.
fortress and to-sit there
Ὅτι ἐὰν οὐ ταξιδεύσωσιν οἱ Χερσωνῖται εἰς Ῥωμανίαν
that if not they-voyage the Chersonites to Romania
καὶ πιπράσκωσι τὰ βυρσάρια καὶ τὰ κηρία, ἅπερ ἀπὸ
and sell the hides and the wax which from
τῶν Πατζινακιτῶν πραγματεύονται, οὐ δύνανται ζῆσαι.
the Pechenegs they-trade not they-are-able to-live
Ὅτι ἐὰν μὴ ἀπὸ Ἀμισσοῦ καὶ ἀπὸ Παφλαγονίας καὶ τῶν
that if not from Amisos and from Paphlagonia and the
Βουκελλαρίων καὶ ἀπὸ τῶν πλαγίων τῶν Ἀρμενιακῶν
Boukellarioi and from the coasts of-the Armeniakoi
περάσωσι γεννήματα, οὐ δύνανται ζῆσαι οἱ Χερσωνῖται.
cross produce not are-able to-live the Chersonites